
EX LIBR. C. PIETERS, EQ.
Matth. Cap XXV
ite ad emite
venden vobis.
tes &c
VIRTUS NOBILITAT

un des 50 Exemplaires
sur Grand papier.

ΠΟΙΗΤΩΝ ΕΛΛΗΝΙΚΩΝ

ΣΥΛΛΟΓΗ.

ΤΟΜ. Α.

POETARUM GRÆCORUM

SYLLOGE.

TOM. I.

TYPIS JUL. DIDOT.

ΑΝΑΚΡΕΩΝ.

ANACREONTIS RELIQUIÆ

BASILII JULIANI

PAULI SILENTIARII

ANACREONTICA

CURANTE JO. FR. BOISSONADE.

PARISIIS.

APUD LEFEVRE BIBLIOPOLAM.

M DCCC XXIII.

BONO IOSEPHO DACIER
BIBLIOTH. REGIAE
CVSTODI
ACADEMIAE INSCRIPTIONN.
AB ACTIS ET EPISTOLIS
ACADEMIAE GALLICAE
XLVIRO
FAVTORI SVO COLENDISSIMO
SENI REVERENDISSIMO
AMABILISSIMO
ANACREONTIS
QVAE FERVNTVR RELIQVIAS
D. D. D.
EDITOR OBSERVANTISSIMVS

JO. FR. BOISSONADE

LECTURIS

S. P.

Jo. Jac. Lefevre, inter bibliopolas parisienses celeberrimus, quem istuc mens animusque ferunt, ut poetis italis, anglicis, latinis, a se speciosissimo typorum Didotianorum et chartæ purissimæ nitore exornatis, græcos etiam, eosque selectos, det comites, meam sibi in eo consilio promovendo operam exhiberi poscit. Atque ego, quum talia procurare satis idoneus imperari mihi videar, non invitus pareo. Ceterum dicto absit invidia. Nam si quis a me singularem poetæ alicujus primarii editionem postulaverit, novis curis marteque proprio recensitam, Sophoclis, puta, vel Euripidis, onus horrebo, ut parvis animis majus. Sed multo est facilius decem intra triennium poetas edere, quam unum.

Etenim, in concinnando hoc syntagmate, institutis plerumque recensionibus utar; versiones non erunt aut componendæ aut refingendæ; commentarius non erit scribendus; incurata potero non tangere ulcera, nec castigatorem reformidabo, qui me præ malo pudore illa celasse, vel mihi vitium non suboluisse dictitet; codices non erunt improbissimo cum labore conferendi; variantium quas dicunt lectionum acervus non struendus; nec scriptorum librariorum, qui sæpicule, somnolentis oculis vel mente ad alia aberrante, venale munus fungebantur, vestigiis ita presse insistendum, ut mendas turpissimas et portentosissimos calami elementarii lapsus sedulissima et fere ridicula cura exhibeam: opus tædiosissimum et ingenio liberali indignissimum! quod me toties peregisse pudet atque piget; at rerum hominumque duris imperiis minorem esse me fata jubent. Sed, liceat fari quæ sentiam, sunt viri multo me meliores et ad majora

comparati, nec non commodis fortunatam vitam plene præstantibus affluentes, quos in hoc pistrinum ultro detrudere se non sine dolore ac indignatiuncula video, et ita sibi literisque altioribus deesse.

Officia autem mea in hac provincia sic recte definire mihi videor: verba ad editionum criticarum et collatorum ab aliis codicum fidem constituam, pro re nata meis etiam copiolis utens; de mea lectione, si quid peculiaritatis notabilis habuerit, notabo diligenter; fragmenta edenda quum fuerint, fontes locorum sedule monstrabo, ut intelligendi subsidia lector sibi quærere queat; atque non omnia fragmentorum cum pulvisculo, quamvis erudito, converram: multa enim id genus criticis plenissimisque editionibus relinquenda sunt, a libellis hisce bellulis prorsus aliena, qui otio magis et deambulationi hominum literatorum conveniunt quam studiis reconditioribus; denique

specimina typothetarum quam potero accuratissime emendabo, ne decora pelle speciosa volumina sint introrsus turpia.

Continuo, in personato illo Anacreonte, a quo rei gerendæ auspicium sumere bibliopola voluit, legem hanc mihi sanxi, nec iniquam, opinor, ut a Brunckii, viri ingeniosissimi, sed sæpius audacioris, recensione passim recederem, vaticani codicis scriptura, quantum fieri potuit, restituta, et interdum advocato criticorum hominum, ingenioli etiam proprii, auxilio; a fragmentis voculas solitarias et quisquilias tales rejicerem, quas cum commentario lector e Fischeriana, si libuerit, sibi petat. Atque in illis colligendis fuissem magis etiam parcus, ni tenuius volumen proponere noluissemus: quod causæ etiam fuit, cur et notas quoque plures quam tulit institutum ac longiores scripserim.

Secundum teii vatis quæ vulgo feruntur reliquias, edidi Basilii, Juliani ægyptii, et incerti poetastri odaria anacreontea, quæ in vaticano codice cum Anacreontis carminibus junctim descripta occurrunt, Theocriti poematiolum de Apro Adonicida, eodem metro deductum, insuper additurus, ni cum ceteris Theocriti opusculis intra duos hosce menses in vulgus prodituris, prelum nunc exerceat. In ejus locum suffeci Thermarum Pythicarum in Bithynia descriptionem, quam eodem rhythmo composuit Paulus Silentiatiarius, poeta recentior, sed non invenustus. Scholiis etiam græcis e codice parisino depromtis illud instruxi, quæ quidem non esse magni momenti fateor; etenim circa grammaticas nugulas versantur, quum tamen vastum Paulus, homo eruditulus, scholiastarum doctis disquisitionibus campum aperuerit: saltem pretium illis quoddam raritas conciliabit. Si quis vero doctas volet in Pauli

Thermas commentationes legere, legat quas scripsit Frid. Jacobsius.

Nonnulli Anacreontis editores, ut spissius volumen fieret, epigrammata diversorum in teii poetæ laudem addiderunt, una cum Sapphonis, Archilochi, et Scoliastarum carminibus selectis; quæ recipere nolui. Epigrammata olim, loco suo eoque propriore, legentur in Anthologia a me curanda; Sapphonis, Archilochi, Simonidis, Bacchylidis, aliorumque lyricorum poetarum fragmenta justum conficient volumen, post Pindarica edendum.

Vivite, valete, Lectores humanissimi; atque mihi, pro virili portione literis græcis prodesse conanti vestrisque inservienti commodis, favete; et, si quid properanti aut aliud agenti vituperio dignum exciderit, veniam boni detis oro, veteris illius sententiæ memores: NEMO NOSTRUM NON PECCAT; HOMINES SUMUS, NON DII.

ΑΝΑΚΡΕΟΝΤΟΣ
ΛΕΙΨΑΝΑ.

ΑΝΑΚΡΕΟΝΤΟΣ
ΒΙΟΣ.

ΑΝΑΚΡΕΩΝ Τήϊος, λυρικὸς, Σκυθίνου υἱός· οἱ δὲ Εὐμήλου, οἱ δὲ Παρθενίου, οἱ δὲ Ἀριστοκρίτου ἐδόξασαν. Ἔγραψεν ἐλεγεῖα, καὶ ἰάμβους, ἰάδι πάντα διαλέκτῳ. Γέγονε κατὰ Πολυκράτην, τὸν Σάμου τύραννον, ὀλυμπιάδι νϐʹ· οἱ δὲ ἐπὶ Κύρου καὶ Καμβύσου τάττουσιν αὐτὸν, κατὰ τὴν κέ ὀλυμπιάδα. Ἐκπεσὼν δὲ Τέω διὰ τὴν Ἱστιαίου ἐπανάστασιν, ᾤκησεν Ἄβδηρα ἐν Θρᾴκῃ. Βίος δὲ ἦν αὐτῷ πρὸς ἔρωτας παίδων καὶ γυναικῶν, καὶ ᾠδάς· καὶ συνέγραψε παροίνιά τε μέλη καὶ ἰάμβους, καὶ τὰ καλούμενα Ἀνακρεόντεια. (*Suidas.*)

Τούτῳ (τῷ Πολυκράτει) συνεβίωσεν Ἀνακρέων ὁ μελοποιός· καὶ δὴ καὶ πᾶσα ἡ ποίησις πλήρης ἐστὶ τῆς περὶ αὐτοῦ μνήμης. (*Strabo* XIV, p. 945. C.)

Ἀνακρέων δὲ, ὁ τῶν μελῶν ποιητὴς, ἔζησεν ἔτη πέντε καὶ ὀγδοήκοντα. (*Lucianus Macrob.* c. 26.)

« Sicut Anacreonti quoque, quamvis sta-« tum humanæ vitæ supergresso; quem uvæ « passæ succo tenues et exiles virium reli-« quias foventem unius grani pertinacior in « aridis faucibus humor absumsit. » (*Valerius Max.* IX, 12. *ext.* 8.)

ΑΝΑΚΡΕΟΝΤΟΣ

ΩΔΑΙ.

ΑΝΑΚΡΕΟΝΤΟΣ

ΩΔΑΙ.

Α΄.

ΕΙΣ ΚΙΘΑΡΑΝ.[1]

ΘΕΛΩ λέγειν Ατρείδας,
Θέλω δὲ Κάδμον ᾄδειν·
Η βάρβιτος δὲ χορδαῖς
Ερωτα μοῦνον ἠχεῖ.
Ημειψα νεῦρα πρώην,
Καὶ τὴν λύρην ἅπασαν,
Κἀγὼ μὲν ᾖδον ἄθλους
Ηρακλέους· λύρη δὲ
Ερωτας ἀντεφώνει.
Χαίροιτε λοιπὸν ἡμῖν,
Ηρωες· ἡ λύρη γὰρ
Μόνους Ερωτας ᾄδει.

Β′.

ΕΙΣ ΓΥΝΑΙΚΑΣ.

ΦΥΣΙΣ κέρατα ταύροις,
Οπλὰς δ' ἔδωκεν ἵπποις,
Ποδωκίην λαγωοῖς,
Λέουσι χάσμ' ὀδόντων,
Τοῖς ἰχθύσιν τὸ νηκτὸν,
Τοῖς ὀρνέοις πέτασθαι,
Τοῖς ἀνδράσιν φρόνημα.
Γυναιξὶν οὐκ ἔτ' εἶχεν.
Τί οὖν; δίδωσι κάλλος,
Αντ' ἀσπίδων ἁπασῶν,
Αντ' ἐγχέων ἁπάντων.
Νικᾷ δὲ καὶ σίδηρον
Καὶ πῦρ καλή τις οὖσα.

Γ'.

ΕΙΣ ΕΡΩΤΑ.

ΜΕΣΟΝΥΚΤΙΟΙΣ ποθ' ὥραις,
Στρέφεται ὅτ' Αρκτος ἤδη
Κατὰ χεῖρα τὴν Βοώτου,
Μερόπων δὲ φῦλα πάντα
Κέαται κόπῳ δαμέντα,
Τότ' Ερως ἐπισταθείς μευ
Θυρέων ἔκοπτ' ὀχῆας.
« Τίς » ἔφην « θύρας ἀράσσει;
« Κατά μευ σχίσεις ὀνείρους. »
Ο δ' Ερως « ἄνοιγε » φησίν.
« Βρέφος εἰμί· μὴ φόβησαι.
« Βρέχομαι δὲ, κἀσέληνον
« Κατὰ νύκτα πεπλάνημαι. »
Ελέησα ταῦτ' ἀκούσας,
Ανὰ δ' εὐθὺ λύχνον ἅψας,
Ανέῳξα, καὶ βρέφος μὲν
Εσορῶ φέροντα τόξον
Πτέρυγάς τε καὶ φαρέτρην·

Παρὰ δ' ἱστίην καθίξας,
Παλάμαις τε χεῖρας αὐτοῦ
Ανέθαλπον, ἐκ δὲ χαίτης
Απέθλιβον ὑγρὸν ὕδωρ.
Ο δ', ἐπεὶ κρύος μεθῆκε,
« Φέρε, » φησὶ « πειράσωμεν
« Τόδε τόξον, ἔς τί μοι νῦν
« Βλάβεται βραχεῖσα νευρή. »
Τανύει δὲ, καί με τύπτει
Μέσον ἧπαρ, ὥσπερ οἶστρος,
Ανὰ δ' ἅλλεται καχάζων,
« Ξένε, » δ' εἶπε « συγχάρηθι·
« Κέρας ἀβλαβὲς μέν ἐστι,
« Σὺ δὲ καρδίαν πονήσεις. »

Δʹ.

ΕΙΣ ΕΑΥΤΟΝ.

ΕΠΙ μυρσίναις τερείναις,
Επὶ λωτίναις τε ποίαις
Στορέσας θέλω προπίνειν·
Ο δ' Ερως, χιτῶνα δήσας
Υπὲρ αὐχένος παπύρῳ,
Μέθυ μοι διακονείτω.
Τροχὸς ἅρματος γὰρ οἷα
Βίοτος τρέχει κυλισθεὶς,
Ολίγη δὲ κεισόμεσθα
Κόνις, ὀστέων λυθέντων.
Τί σε δεῖ λίθον μυρίζειν;
Τί δὲ γῇ χέειν μάταια;
Εμὲ μᾶλλον, ὡς ἔτι ζῶ,
Μύρισον, ῥόδοις δὲ κρᾶτα
Πύκασον, κάλει δ' ἑταίρην.
Πρὶν, Ερως, ἐκεῖ μ' ἀπελθεῖν
Υπὸ νερτέρων χορείας,
Σκεδάσαι θέλω μερίμνας.

Ε'.

ΕΙΣ ΡΟΔΟΝ.

ΤΟ ῥόδον τὸ τῶν Ερώτων
Μίξωμεν Διονύσῳ·
Τὸ ῥόδον τὸ καλλίφυλλον
Κροτάφοισιν ἁρμόσαντες,
Πίνωμεν ἁβρὰ γελῶντες.
Ρόδον, ὦ φέριστον ἄνθος!
Ρόδον εἴαρος μέλημα·
Ρόδα καὶ θεοῖσι τερπνά·
Ρόδα, τοῖς ὁ παῖς Κυθήρης
Στέφεται καλοὺς ἰούλους
Χαρίτεσσι συγχορεύων.
Στέψον οὖν με· καὶ, λυρίζων
Παρὰ σοῖς, Διόνυσε, σηκοῖς,
Μετὰ κούρης βαθυκόλπου,
Ροδίνοισι στεφανίσκοις
Πεπυκασμένος, χορεύσω.

ϛ'.

ΕΡΩΤΙΚΟΝ.

ΣΤΕΦΑΝΟΥΣ μὲν κροτάφοισι
Ροδίνους συναρμόσαντες,
Μεθύομεν ἁβρὰ γελῶντες·
Υπὸ βαρβίτῳ δὲ κούρα,
Καταχίσσοισι βρέμοντας
Πλοκάμοις φέρουσα θύρσους,
Χλιδανόσφυρος χορεύει.
Αβροχαίτας δ' ἅμα κοῦρος
Στομάτων ἁδὺ πνεόντων
Κατὰ πηκτίδων ἀθύρει
Προχέειν λίγειαν ὀμφάν.
Ο δ' Ερως ὁ χρυσοχαίτας
Μετὰ τοῦ καλοῦ Λυαίου,
Καὶ τῆς καλῆς Κυθήρης,
Τὸν ἐπήρατον γεραιοῖς
Κῶμον μέτεισι χαίρων.

Ζ'.

ΕΙΣ ΕΡΩΤΑ.

ΥΑΚΙΝΘΙΝῌ με ῥάβδῳ
Χαλεπῶς Ερως ῥαπίζων
Εκέλευε συντροχάζειν.
Διὰ δ' ὀξέων μ' ἀναύρων,
Ξυλόχων τε καὶ φαράγγων,
Τροχάοντα τεῖρεν ἱδρώς·
Κραδίη δὲ ῥινὸς ἄχρις
Ανέβαινε, κἂν ἀπέσβην.
Ο δ' Ερως, μέτωπα σείων
Απαλοῖς πτεροῖσιν, εἶπεν·
« Σὺ γὰρ οὐ δύνῃ φιλῆσαι. »

Η'.

ΟΝΑΡ.

ΔΙΑ νυκτὸς ἐγκαθεύδων
Αλιπορφύροις τάπησι,
Γεγανυμένος Λυαίῳ,
Εδόκουν ἄκροισι ταρσοῖς
Δρόμον ὠκὺν ἐκτανύειν,
Μετὰ παρθένων ἀθύρων.
Επεκερτόμουν δὲ παῖδες
Απαλώτεροι Λυαίου,
Δακέθυμά μοι λέγοντες,
Διὰ τὰς καλὰς ἐκείνας.
Εθέλοντα δὲ φιλῆσαι
Φύγον ἐξ ὕπνου με πάντες,
Μεμονωμένος δ' ὁ τλήμων
Πάλιν ἤθελον καθεύδειν.

Θ'.

ΕΙΣ ΠΕΡΙΣΤΕΡΑΝ.

« ΕΡΑΣΜΙΗ πέλεια,
« Πόθεν, πόθεν πετᾶσαι;
« Πόθεν μύρων τοσούτων,
« Επ' ἠέρος θέουσα,
« Πνέεις τε καὶ ψεκάζεις;
« Τίς εἶ; τί σοι μέλει δέ; »

« Ανακρέων μ' ἔπεμψε
« Πρὸς παῖδα, πρὸς Βάθυλλον,
« Τὸν ἄρτι τῶν ἁπάντων
« Κρατοῦντα καὶ τύραννον.
« Πέπρακέ μ' ἡ Κυθήρη,
« Λαβοῦσα μικρὸν ὕμνον.
« Εγὼ δ' Ανακρέοντι
» Διακονῶ τοσαῦτα.
« Καὶ νῦν οἵας ἐκείνου
« Επιστολὰς κομίζω!
« Καί φησιν εὐθέως με

« Ελευθέρην ποιήσειν·
« Εγὼ δέ, κἢν ἀφῇ με,
« Δούλη μενῶ παρ' αὐτῷ.
« Τί γάρ με δεῖ πέτασθαι
« Ορη τε καὶ κατ' ἀγροὺς,
« Καὶ δένδρεσιν καθίζειν,
« Φαγοῦσαν ἄγριόν τι;
« Τὰ νῦν ἔδω μὲν ἄρτον,
« Αφαρπάσασα χειρῶν
« Ανακρέοντος αὐτοῦ·
« Πιεῖν δέ μοι δίδωσι
« Τὸν οἶνον ὃν προπίνει.
« Πιοῦσα δ', ἂν χορεύσω,
« Καὶ δεσπότην ἐμοῖσι
« Πτεροῖσι συγκαλύψω.
« Κοιμωμένη δ' ἐπ' αὐτῷ
« Τῷ βαρβίτῳ καθεύδω.
« Εχεις ἅπαντ'· ἄπελθε·
« Λαλιστέραν μ' ἔθηκας,
« Ανθρωπε, καὶ κορώνης. »

Ι'.

ΕΙΣ ΕΡΩΤΑ ΚΗΡΙΝΟΝ.

ΕΡΩΤΑ κήρινόν τις
Νεηνίης ἐπώλει·
Εγὼ δέ οἱ παραστὰς,
« Πόσου θέλεις » ἔφην « σοὶ
« Τὸ τευχθὲν ἐκπρίωμαι; »
Ο δ' εἶπε δωριάζων·
« Λάβ' αὐτὸν ὁππόσου λῇς.
« Οπως ἂν ἐκμάθῃς νιν,
« Οὐκ εἰμὶ καροτέχνας.
« Αλλ' οὔ τι λῶ συνοικῆν
« Ερωτι παντορέκτᾳ. » —
« Δὸς οὖν, δὸς αὐτὸν ἡμῖν
« Δραχμῆς, καλὸν σύνευνον. »
Ερως, σὺ δ' εὐθέως με
Πύρωσον· εἰ δὲ μὴ, σὺ
Κατὰ φλογὸς τακήσῃ.

ΙΑ'.

ΕΙΣ ΕΑΥΤΟΝ.

ΛΕΓΟΥΣΙΝ αἱ γυναῖκες·
« Ἀνακρέων, γέρων εἶ·
« Λαβὼν ἔσοπτρον, ἄθρει
« Κόμας μὲν οὐκ ἔτ' οὔσας,
« Ψιλὸν δέ σευ μέτωπον. »
Ἐγὼ δὲ τὰς κόμας μὲν,
Εἴτ' εἰσὶν, εἴτ' ἀπῆλθον,
Οὐκ οἶδα· τοῦτο δ' οἶδα,
Ὡς τῷ γέροντι μᾶλλον
Πρέπει τὸ τερπνὰ παίζειν,
Ὅσῳ πέλας τὰ Μοίρης.

ΙΒ'.

ΕΙΣ ΧΕΛΙΔΟΝΑ.

Τί σοι θέλεις ποιήσω,
Τί, κωτίλη χελιδόν;
Τὰ ταρσά σευ τὰ κοῦφα
Θέλεις λαβὼν ψαλίξω;
Ἢ μᾶλλον ἔνδοθέν σευ
Τὴν γλῶσσαν, ὡς ὁ Τηρεὺς
Ἐκεῖνος, ἐκθερίξω;
Τί μευ καλῶν ὀνείρων
Ὑπορθρίαισι φωναῖς
Ἀφήρπασας Βάθυλλον;

ΙΓ΄.

ΕΙΣ ΕΑΥΤΟΝ.

Οἱ μὲν καλὴν Κυβήβην
Τὸν ἡμίθηλυν Ἄττιν
Ἐν οὔρεσιν βοῶντα
Λέγουσιν ἐκμανῆναι·
Οἱ δὲ Κλάρου παρ' ὄχθαις,
Δαφνηφόροιο Φοίβου
Λάλον πιόντες ὕδωρ,
Μεμηνότες βοῶσιν.
Ἐγὼ δὲ, τοῦ Λυαίου
Καὶ τοῦ μύρου κορεσθεὶς
Καὶ τῆς ἐμῆς ἑταίρης,
Θέλω, θέλω μανῆναι.

ΙΔʹ.

ΕΙΣ ΕΡΩΤΑ.

ΘΕΛΩ, θέλω φιλῆσαι.
Επειθ' Ερως φιλεῖν με·
Εγὼ δ', ἔχων νόημα
Αβουλον, οὐκ ἐπείσθην.
Ο δ', εὐθὺ τόξον ἄρας
Καὶ χρυσέην φαρέτρην,
Μάχῃ με προὐκαλεῖτο.
Κἀγὼ, λαβὼν ἐπ' ὤμων
Θώρηχ', ὅπως Αχιλλεὺς,
Καὶ δοῦρα, καὶ βοείην,
Εμαρνάμην Ερωτι.
Εβαλλ', ἐγὼ δ' ἔφευγον.
Ως δ' οὐκ ἔτ' εἶχ' ὀϊστοὺς,
Ησχαλλεν, εἶθ' ἑαυτὸν
Αφῆκεν εἰς βέλεμνον.
Μέσος δὲ καρδίης μευ
Εδυνε, καί μ' ἔλυσεν.
Μάτην δ' ἔχω βοείην.
Τί γὰρ βάλωμεν ἔξω,
Μάχης ἔσω μ' ἐχούσης;

ΙΕ'.

ΕΙΣ ΤΟ ΑΦΘΟΝΩΣ ΖΗΝ.

ΟΥ μοι μέλει τὰ Γύγεω,
Τοῦ Σαρδίων ἄνακτος·
Οὐδ' εἷλέ πώ με ζῆλος,
Οὐδὲ φθονέω τυράννοις.
Εμοὶ μέλει μύροισιν
Καταβρέχειν ὑπήνην·
Εμοὶ μέλει ῥόδοισιν
Καταστέφειν κάρηνα.
Τὸ σήμερον μέλει μοι·
Τὸ δ' αὔριον τίς οἶδεν;
Ως οὖν ἔτ' εὐδί' ἐστὶν,
Καὶ πῖνε, καὶ κύβευε,
Καὶ σπένδε τῷ Λυαίῳ,
Μὴ νοῦσος, ἤν τις ἔλθῃ,
Λέγῃ· « σὲ μὴ δεῖ πίνειν. »

ΙϚʹ.

ΕΙΣ ΕΑΥΤΟΝ.

ΣΥ μὲν λέγεις τὰ Θήβης,
Ο δ' αὖ Φρυγῶν ἀϋτάς·
Εγὼ δ' ἐμὰς ἁλώσεις.
Οὐχ ἵππος ὤλεσέν με,
Οὐ πεζὸς, οὐχὶ νῆες·
Στρατὸς δὲ καινὸς ἄλλος,
Απ' ὀμμάτων με βάλλων.

ΙΖ'.

ΕΙΣ ΠΟΤΗΡΙΟΝ ΑΡΓΥΡΟΥΝ.

ΤΟΝ ἄργυρον τορεύων,
Ηφαιστέ, μοι ποίησον,
Πανοπλίαν μὲν οὐχὶ,
(Τί γὰρ μάχαισι κἀμοί;)
Ποτήριον δὲ κοῖλον,
Οσον δύνῃ, βαθύνας.
Ποίει δέ μοι κατ' αὐτοῦ
Μήτ' ἄστρα, μήθ' ἅμαξαν,
Μὴ στυγνὸν Ωρίωνα:
(Τί Πλειάδων μέλει μοι,
Τί δ' ἀστέρος Βοώτεω;)
Αλλ' ἀμπέλους χλοώσας,
Καὶ βότρυας γελῶντας,
Καὶ Μαινάδας τρυγώσας·
Ποίει δὲ ληνὸν οἴνου,
Καὶ χρυσέους πατοῦντας
Ομοῦ καλῷ Λυαίῳ
Ερωτα καὶ Βάθυλλον.

ΙΗ΄.

ΕΙΣ ΤΟ ΑΥΤΟ.

ΚΑΛΛΙΤΕΧΝΑ, τόρευσον
Εαρος κύπελλον ἤδη·
Τὴν πρῶθ' ἡμῖν τὰ τερπνὰ
Ρόδα φέρουσαν ὤρην.
Τὸν ἄργυρον δ' ἁπλώσας
Πότον ποίει μοι τερπνόν.
Μὴ τῶν παρ' οἴνῳ τελετῶν
Ξένον τί μοι τορεύσῃς,
Μὴ φευκτὸν ἱστόρημα·
Μᾶλλον ποίει Διὸς γόνον
Βάκχον εὔιον ἡμῖν,
Μύστιν τε τῶν πόθων Κύπριν
Υμεναίοις κροτοῦσαν.
Χάρασσ' Ερωτας ἀνόπλους,
Καὶ Χάριτας γελώσας.
Υπ' ἄμπελον εὐπέταλον,
Εὐβότρυον, κομῶσαν,
Σύναπτε κούρους εὐπρεπεῖς·
Αμα δὴ Φοῖβος ἀθύρῃ.

ΙΘ΄.

ΕΙΣ ΤΟ ΔΕΙΝ ΠΙΝΕΙΝ.

Η γῆ μέλαινα πίνει,
Πίνει δὲ δένδρε' αὐτήν·
Πίνει θάλασσα δ' αὔρας
Ο δ' ἥλιος θάλασσαν,
Τὸν δ' ἥλιον σελήνη.
Τί μοι μάχεσθ', ἑταῖροι,
Καὐτῷ θέλοντι πίνειν;

Κʹ.

ΕΙΣ ΚΟΡΗΝ.

Η Ταντάλου ποτ' έστη
Λίθος Φρυγῶν ἐν ὄχθαις,
Καὶ παῖς ποτ' ὄρνις ἔπτη
Πανδίονος χελιδών.
Εγὼ δ' ἔσοπτρον εἴην,
Οπως ἀεὶ βλέπῃς με·
Εγὼ χιτὼν γενοίμην,
Οπως ἀεὶ φορῇς με.
Υδωρ θέλω γενέσθαι,
Οπως σε χρῶτα λούσω.
Μύρον, γύναι, γενοίμην
Οπως ἐγώ σ' ἀλείψω.
Καὶ ταινίη δὲ μασθῶν,
Καὶ μάργαρος τραχήλῳ,
Καὶ σάνδαλον γενοίμην.
Μόνον ποσὶν πάτει με.

ΚΑ'.

ΕΙΣ ΕΑΥΤΟΝ.

ΔΟΤΕ μοι, δότ', ὦ γυναῖκες,
Βρομίου πιεῖν ἀμυστί·
Ἀπὸ καύματος γὰρ ἤδη
Προδοθεὶς ἀναστενάζω.
Δότε δ' ἀνθέων ἐκείνου·
Στεφάνους δ', οἵους πυκάζω,
Τὰ μέτωπά μου 'πικαίει.
Τὸ δὲ καῦμα τῶν Ερώτων,
Κραδίη, τίνι σκεπάζω;

ΚΒ'.

ΕΙΣ ΒΑΘΥΛΛΟΝ.

ΠΑΡΑ τὴν σκιὴν Βαθύλλου
Καθίσω. καλὸν τὸ δένδρον·
Απαλὰς δ' ἔσεισε χαίτας
Μαλακωτάτῳ κλαδίσκῳ.
Παρὰ δ' αὐτὸν ἐρεθίζει
Πηγὴ ῥέουσα πειθοῦς.
Τίς ἂν οὖν ὁρῶν παρέλθοι
Καταγώγιον τοιοῦτο;

ΚΓ΄.

ΕΙΣ ΦΙΛΑΡΓΥΡΟΝ.

Ο πλοῦτος εἴ γε χρυσοῦ
Τὸ ζῆν παρεῖχε θνητοῖς,
Εκαρτέρουν φυλάσσων,
Ιν', ἂν θανεῖν ἐπέλθῃ,
Λάβῃ τι, καὶ παρέλθῃ.
Εἰ δ' οὖν μὴ τὸ πρίασθαι
Τὸ ζῆν ἔνεστι θνητοῖς,
Τί καὶ μάτην στενάζω;
Τί καὶ γόους προπέμπω;
Θανεῖν γὰρ εἰ πέπρωται,
Τί χρυσὸς ὠφελεῖ με;
Εμοὶ γένοιτο πίνειν,
Πιόντι δ' οἶνον ἡδὺν
Εμοῖς φίλοις συνεῖναι,
Εν δ' ἁπαλαῖσι κοίταις
Τελεῖν τὰν Ἀφροδίταν.

ΚΔ΄.

ΕΙΣ ΕΑΥΤΟΝ.

ΕΠΕΙΔΗ βροτὸς ἐτύχθην
Βιότου τρίβον ὁδεύειν,
Χρόνον ἔγνων ὃν παρῆλθον,
Ον δ' ἔχω δραμεῖν οὐκ οἶδα.
Μέθετέ με, φροντίδες·
Μηδέν μοι καὶ ὑμῖν ἔστω.
Πρὶν ἐμὲ φθάσῃ τὸ τέλος,
Παίξω, γελάσω, χορεύσω
Μετὰ τοῦ καλοῦ Λυαίου.

ΚΕ΄.

ΕΙΣ ΕΑΥΤΟΝ.

ΟΤΑΝ πίω τὸν οἶνον,
Εὕδουσιν αἱ μέριμναι.
Τί μοι γόων, τί μοι πόνων,
Τί μοι μέλει μεριμνῶν;
Θανεῖν με δεῖ, κᾂν μὴ θέλω·
Τί δὲ τὸν βίον πλανῶμαι;
Πίωμεν οὖν τὸν οἶνον
Τὸν τοῦ καλοῦ Λυαίου.
Σὺν τῷ δὲ πίνειν ἡμᾶς
Εὕδουσιν αἱ μέριμναι.

ΚϚʹ.

ΕΙΣ ΕΑΥΤΟΝ.

ΟΤΑΝ ὁ Βάκχος εἰσέλθῃ,
Εὕδουσιν αἱ μέριμναι·
Δοκῶν δ' ἔχειν τὰ Κροίσου
Θέλω καλῶς ἀείδειν·
Κισσοστεφὴς δὲ κεῖμαι,
Πατῶ δ' ἅπαντα θυμῷ.
Οπλιζ', ἐγὼ δὲ πίνω.
Φέρ' ἐμοὶ κύπελλον, ὦ παῖ·
Μεθύοντα γάρ με κεῖσθαι
Πολὺ κρεῖσσον, ἢ θανόντα.

ΚΖ'.

ΕΙΣ ΔΙΟΝΥΣΟΝ.

ΤΟΥ Διὸς ὁ παῖς ὁ Βάκχος,
Ο λυσίφρων, ὁ λυαῖος,
Οταν εἰς φρένας τὰς ἐμὰς
Εἰσέλθῃ μεθυδότας,
Διδάσκει με χορεύειν.
Εχω δὲ καί τι τερπνὸν
Ο τᾶς μέθας ἐραστὺς·
Μετὰ κρότων, μετ' ᾠδᾶς
Τέρπει με κ' Αφροδίτα,
Καὶ πάλιν θέλω χορεύειν.

ΚΗ΄.

ΕΙΣ ΚΟΡΗΝ.

ΑΓΕ, ζωγράφων ἄριστε,
Γράφε, ζωγράφων ἄριστε,
Ροδίης κοίρανε τέχνης,
Απεοῦσαν, ὡς ἂν εἴπω,
Γράφε τὴν ἐμὴν ἑταίρην.
Γράφε μοι τρίχας τὸ πρῶτον
Απαλάς τε καὶ μελαίνας·
Ο δὲ κηρὸς ἂν δύνηται,
Γράφε καὶ μύρου πνεούσας.
Γράφε δ' ἐξ ὅλης παρειῆς
Υπὸ πορφύραισι χαίταις
Ελεφάντινον μέτωπον.
Τὸ μεσόφρυον δὲ μή μοι
Διάκοπτε, μήτε μίσγε·
Εχέτω δ', ὅπως ἐκείνη,
Τὸ λεληθότως σύνοφρυν
Βλεφάρων ἴτυν κελαινήν.
Τὸ δὲ βλέμμα νῦν ἀληθῶς

Απὸ τοῦ πυρὸς ποίησον,
Αμα γλαυκὸν, ὡς Ἀθήνης,
Αμα δ' ὑγρὸν, ὡς Κυθήρης.
Γράφε ῥῖνα καὶ παρειὰς,
Ρόδα τῷ γάλακτι μίξας.
Γράφε χεῖλος, οἷα Πειθοῦς,
Προκαλούμενον φίλημα.
Τρυφεροῦ δ' ἔσω γενείου
Περὶ λυγδίνῳ τραχήλῳ
Χάριτες πέτοιντο πᾶσαι.
Στόλισον τὸ λοιπὸν αὐτὴν
Υποπορφύροισι πέπλοις·
Διαφαινέτω δὲ σαρκῶν
Ολίγον, τὸ σῶμ' ἐλέγχον.
Απέχει· βλέπω γὰρ αὐτήν·
Τάχα, κηρὲ, καὶ λαλήσεις.

ΚΘ´.

ΕΙΣ ΝΕΩΤΕΡΟΝ ΒΑΘΥΛΛΟΝ.

ΓΡΑΦΕ μοι Βάθυλλον οὕτω,
Τὸν ἑταῖρον, ὡς διδάσκω.
Λιπαρὰς κόμας ποίησον,
Τὰ μὲν ἔνδοθεν, μελαίνας,
Τὰ δ' ἐς ἄκρον, ἡλιώσας·
Ελικας δ' ἐλευθέρους μοι
Πλοκάμων ἄτακτα συνθεὶς,
Αφες, ὡς θέλωσι, κεῖσθαι.
Απαλὸν δὲ καὶ δροσῶδες
Στεφέτω μέτωπον ὀφρὺς
Κυανωτέρη δρακόντων.
Μέλαν ὄμμα γοργὸν ἔστω,
Κεκερασμένον γαλήνῃ,
Τὸ μὲν ἐξ Αρηος ἕλκον,
Τὸ δὲ τῆς καλῆς Κυθήρης,
Ινα τις τὸ μὲν φοβῆται,
Τὸ δ' ἀπ' ἐλπίδος κρεμᾶται.
Ροδίνην δ', ὁποῖα μῆλον,
Χνοΐην ποίει παρειήν·
Ερύθημα δ' ὡς ἂν Αἰδοῦς

Δύνασαι βαλεῖν, ποίησον.
Τὸ δὲ χεῖλος οὐκ ἔτ' οἶδα
Τίνι μοι τρόπῳ ποιήσεις
Απαλὸν, γέμον τε Πειθοῦς.
Τὸ δὲ πᾶν, ὁ κηρὸς αὐτὸς
Εχέτω λαλῶν σιωπῇ.
Μετὰ δὲ πρόσωπον ἔστω
Τὸν Αδώνιδος παρελθὼν
Ελεφάντινος τράχηλος.
Μεταμάζιον δὲ ποίει
Διδύμας τε χεῖρας Ερμοῦ,
Πολυδεύκεος δὲ μηροὺς,
Διονυσίην δὲ νηδὺν.
Απαλῶν δ' ὕπερθε μηρῶν,
Μηρῶν τὸ πῦρ ἐχόντων,
Αφελῆ ποίησον αἰδῶ,
Παφίην θέλουσαν ἤδη.
Φθονερὴν ἔχεις δὲ τέχνην,
Οτι μὴ τὰ νῶτα δεῖξαι
Δύνασαι· τὰ δ' ἦν ἀμείνω.
Τί με δεῖ πόδας διδάσκειν;
Λάβε μισθὸν, ὅσσον εἴπῃς.
Τὸν Απόλλωνα δὲ τοῦτον
Καθελὼν, ποίει Βάθυλλον·
Ην δ' ἐς Σάμον ποτ' ἔλθῃς,
Γράφε Φοῖβον ἐκ Βαθύλλου.

Λʹ.

ΕΙΣ ΕΡΩΤΑ.

Αἱ Μοῦσαι τὸν Ἔρωτα
Δήσασαι στεφάνοισι
Τῷ Κάλλει παρέδωκαν.
Καὶ νῦν ἡ Κυθέρεια
Ζητεῖ, λύτρα φέρουσα,
Λύσασθαι τὸν Ἔρωτα.
Κἂν λύσῃ δέ τις αὐτὸν,
Οὐκ ἔξεισι, μένει δέ·
Δουλεύειν δεδίδακται.

ΛΑ'.

ΕΙΣ ΕΑΥΤΟΝ ΜΕΜΕΘΥΣΜΕΝΟΝ.

ΑΦΕΣ με, τοὺς θεοὺς, σοὶ
Πιεῖν, πιεῖν ἀμυστί.
Θέλω, θέλω μανῆναι.
Εμαίνετ' Αλκμαίων τε,
Χ' ὁ λευκόπους Ορέστης,
Τὰς μητέρας κτανόντες·
Εγὼ δὲ, μηδένα κτὰς,
Πιὼν δ' ἐρυθρὸν οἶνον,
Θέλω, θέλω μανῆναι.
Εμαίνεθ' Ηρακλῆς πρὶν,
Δεινὴν κλονῶν φαρέτρην
Καὶ τόξον Ιφίτειον·
Εμαίνετο πρὶν Αἴας
Μετ' ἀσπίδος κραδαίνων
Τὴν Εκτορος μάχαιραν·
Εγὼ δ', ἔχων κύπελλον,
Καὶ στέμμα τοῦτο χαίταις,
Οὐ τόξον, οὐ μάχαιραν,
Θέλω, θέλω μανῆναι.

ΛΒ'.

ΕΙΣ ΤΟΥΣ ΕΑΥΤΟΥ ΕΡΩΤΑΣ.

Ει φύλλα πάντα δένδρων
Επίστασαι κατειπεῖν,
Εἰ κύματ' οἶδας εὑρεῖν
Τὰ τῆς ὅλης θαλάσσης,
Σὲ τῶν ἐμῶν Ερώτων
Μόνον ποῶ λογιστήν.
Πρῶτον μὲν ἐξ Αθηνῶν
Ερωτας εἴκοσιν θὲς,
Καὶ πεντεκαίδεκ' ἄλλους·
Επειτα δ' ἐκ Κορίνθου
Θὲς ὁρμαθοὺς Ερώτων·
Αχαΐης γάρ ἐστιν,
Οπου καλαὶ γυναῖκες.
Τίθει δὲ Λεσβίους μοι,
Καὶ μέχρι τῶν Ιώνων,
Καὶ Καρίην Ρόδον τε,
Δισχιλίους Ερωτας. —
Τί φής; — Αεὶ κηρῷ θές.

Οὔπω Σύρους ἔλεξα,
Οὔπω πόθους Κανώβου,
Οὐ τῆς ἅπαντ᾽ ἐχούσης
Κρήτης, ὅπου πόλεσσιν
Ερως ἐποργιάζει.
Τί σοι θέλεις ἀριθμῶ
Καὶ τοὺς Γαδείρων ἐκτὸς,
Τοὺς Βακτρίων τε κ᾽ Ινδῶν,
Ψυχῆς ἐμῆς Ερωτας;

ΛΓ'.

ΕΙΣ ΧΕΛΙΔΟΝΑ.

ΣΥ μὲν, φίλη χελιδὸν,
Ετησίη μολοῦσα,
Θέρει πλέκεις καλιὴν,
Χειμῶνι δ' εἶς ἄφαντος
Η Νεῖλον, ἢ 'πὶ Μέμφιν·
Ερως δ' αἐὶ πλέκει μευ
Εν καρδίῃ καλιήν.
Πόθος δ' ὁ μὲν πτεροῦται,
Ο δ' ὠόν ἐστιν ἀκμὴν,
Ο δ' ἡμίλεπτος ἤδη.
Βοὴ δὲ γίνετ' αἰεὶ
Κεχηνότων νεοττῶν.
Ερωτιδεῖς δὲ μικροὺς
Οἱ μείζονες τρέφουσιν·
Οἱ δὲ τραφέντες εὐθὺς
Πάλιν κύουσιν ἄλλους.
Τί μῆχος οὖν γένηται;
Οὐ γὰρ σθένω τοσούτους
Ερωτας ἐκβοῆσαι.

ΛΔ΄.

ΕΙΣ ΚΟΡΗΝ.

ΜΗ με φύγῃς, ὁρῶσα
Τὰν πολιὰν ἔθειραν·
Μηδ', ὅτι σοι πάρεστιν
Ανθος ἀκμαῖον ὥρας,
Τἀμὰ φίλτρα διώξῃς.
Ορα κἀν στεφάνοισιν
Οπως πρέπει τὰ λευκὰ
Ρόδοις κρίνα πλακέντα.

ΛΕ΄.

ΕΙΣ ΕΥΡΩΠΗΝ.

Ο ταῦρος οὗτος, ὦ παῖ,
Δοκεῖ τις εἶναι Ζεύς μοι.
Φέρει γὰρ ἀμφὶ νώτοις
Σιδωνίην γυναῖκα·
Περᾷ δὲ πόντον εὐρὺν,
Τέμνει τε κῦμα χηλαῖς.
Οὐκ ἂν δὲ ταῦρος ἄλλος
Εξ ἀγέλης ἐλασθεὶς
Επλευσε τὴν θάλασσαν,
Εἰ μὴ μόνος γ᾽ ἐκεῖνος.

ΛϚ΄.

ΕΙΣ ΤΟ ΑΝΕΤΩΣ ΖΗΝ.

Τί με τοὺς νόμους διδάσκεις
Καὶ ῥητόρων ἀνάγκας;
Τί δέ μοι λόγων τοσούτων
Τῶν μηδὲν ὠφελούντων;
Μᾶλλον δίδασκε πίνειν
Ἁπαλὸν πόμα Λυαίου·
Μᾶλλον δίδασκε παίζειν
Μετὰ χρυσῆς Ἀφροδίτης.
Πολιαὶ στέφουσι κάραν.
Δὸς ὕδωρ, βάλ' οἶνον· ὦ παῖ,
Τὴν ψυχήν μου κάρωσον.
Βραχὺ μὴ ζῶντα καλύπτεις·
Ὁ θανὼν οὐκ ἐπιθυμεῖ.

ΛΖʹ.

ΕΙΣ ΤΟ ΕΑΡ.

ΙΔΕ πῶς, ἔαρος φανέντος
Χάριτες ῥόδα βρύουσιν.
Ἴδε πῶς κῦμα θαλάσσης
Απαλύνεται γαλήνῃ.
Ἴδε πῶς νῆσσα κολυμβᾷ.
Ἴδε πῶς γέρανος ὁδεύει.
Αφελῶς δ' ἔλαμψε Τιτάν·
Νεφελῶν σκιαὶ δονοῦνται,
Τὰ βροτῶν δ' ἔλαμψεν ἔργα.
Καρποῖσι γαῖα προκύπτει,
Καρπὸς ἐλαίας προκύπτει
Βρομίου στέφεται νᾶμα·
Κατὰ φύλλον, κατὰ κλῶνα
Καθελὼν ἤνθισε καρπός.

ΛΗ'.

ΕΙΣ ΕΑΥΤΟΝ.

ΕΓΩ γέρων μέν εἰμι,
Νέων πλέον δὲ πίνω,
Κἂν δεήσῃ με χορεύειν,
Σκῆπτρον ἔχω τὸν ἀσκόν·
Ο νάρθηξ δ' οὐδέν ἐστιν.
Ο μὲν θέλων μάχεσθαι
Παρέστω, καὶ μαχέσθω.
Εμοὶ κύπελλον, ὦ παῖ,
Μελιχρὸν οἶνον ἡδὺν
Εγκεράσας, φόρησον.
Εγὼ γέρων μέν εἰμι,
Σειληνὸν δ' ἐν μέσοισι
Μιμούμενος χορεύσω.

ΛΘ΄.

ΕΙΣ ΣΥΜΠΟΣΙΟΝ.

ΟΤ' ἐγὼ πίω τὸν οἶνον,
Τότε μευ ἦτορ ἰανθὲν
Λιγαίνειν ἄρχεται Μούσας.

Οτ' ἐγὼ πίω τὸν οἶνον,
Απορίπτονται μέριμναι,
Πολυφρόντιδές τε βουλαὶ
Ες ἁλικτύπους ἀήτας.

Οτ' ἐγὼ πίω τὸν οἶνον,
Λυροπαίγμων τότε Βάκχος
Πολυανθέσιν μ' ἐν αὔραις
Δονέει, μέθῃ γανώσας.

Οτ' ἐγὼ πίω τὸν οἶνον,
Στεφάνους ἄνθεσι πλέξας,
Επιθεὶς δὲ τῷ καρήνῳ,
Βιότου μέλπω γαλήνην.

Οτ' ἐγὼ πίω τὸν οἶνον,
Μύρῳ εὐώδει τέγξας
Δέμας, ἀγκάλαις δὲ κούρην
Κατέχων, Κύπριν ἀείδω.

Οτ' ἐγὼ πίω τὸν οἶνον,
Ὑπὸ κυρτοῖσι κυπέλλοις
Τὸν ἐμὸν νόον ἁπλώσας,
Θιάσῳ τέρπομαι κούρων.

Οτ' ἐγὼ πίω τὸν οἶνον;
Τοῦτό μοι μόνῳ τὸ κέρδος,
Τοῦτ' ἐγὼ λαβὼν ἀποίσω.
Τὸ θανεῖν γὰρ μετὰ πάντων.

Μ'.

ΕΙΣ ΕΡΩΤΑ.

ΕΡΩΣ ποτ' ἐν ῥόδοισι
Κοιμωμένην μέλιτταν
Οὐκ εἶδεν, ἀλλ' ἐτρώθη.
Τὸν δάκτυλον παταχθεὶς
Τᾶς χειρὸς, ὠλόλυξε·
Δραμὼν δὲ καὶ πετασθεὶς
Πρὸς τὴν καλὴν Κυθήρην,
« Ὀλωλα, μῆτερ, » εἶπεν,
« Ὀλωλα, κἀποθνήσκω.
« Ὀφις μ' ἔτυψε μικρὸς,
« Πτερωτὸς, ὃν καλοῦσιν
« Μέλιτταν οἱ γεωργοί. »
Α δ' εἶπεν· « Εἰ τὸ κέντρον
« Πονεῖ τὸ τᾶς μελίττας,
« Πόσον δοκεῖς πονοῦσιν,
« Ερως, ὅσους σὺ βάλλεις; »

ΜΑ'.

ΕΙΣ ΣΥΜΠΟΣΙΟΝ.

ΙΛΑΡΟΝ πίωμεν οἶνον,
Αναμέλψομεν δὲ Βάκχον,
Τὸν ἐφευρετὰν χορείας,
Τὸν ὅλας ποθοῦντα μολπὰς,
Τὸν ὁμότροπον Ερωτι,
Τὸν ἐρώμενον Κυθήρης,
Δι' ὃν ἡ Μέθη λοχεύθη,
Δι' ὃν ἡ Χάρις ἐτέχθη,
Δι' ὃν ἀμπαύεται Λύπα,
Δι' ὃν εὐνάζετ' Ανία.
Τὸ μὲν οὖν πόμα κερασθὲν
Απαλοὶ φέρουσι παῖδες·
Τὸ δ' ἄχος πέφευγε μιχθὲν
Ανεμοτρόπῳ θυέλλῃ.
Τὸ μὲν οὖν πόμα λάβωμεν,
Τὰς δὲ φροντίδας μεθῶμεν.
Τί γάρ ἐστι σοὶ τὸ κέρδος
Οδυνωμένῳ μερίμναις;

Πόθεν οἴδαμεν τὸ μέλλον;
Ο βίος βροτοῖς ἄδηλος.
Μεθύων θέλω χορεύειν,
Μεμυρισμένος δὲ παίζειν
. . . .
Μετὰ καὶ καλῶν γυναικῶν.
Μελέτω δὲ τοῖς θέλουσιν
Οσον ἐστὶν ἐν μερίμναις.
Ιλαροὶ πίωμεν οἶνον,
Αναμέλψομεν δὲ Βάκχον.

ΜΒ'.

ΕΡΩΤΙΚΟΝ.

ΠΟΘΕΩ μὲν Διονύσου
Φιλοπαίγμονος χορείας·
Φιλέω δ', ὅταν ἐφήβου
Μετὰ συμπότου λυρίζω.
Στεφανίσκους δ' ὑακίνθων
Κροτάφοισιν ἀμφιπλέξας,
Μετὰ παρθένων ἀθύρειν
Φιλέω μάλιστα πάντων.
Φθόνον οὐκ οἶδ' ἐμὸν ἦτορ,
Φθόνον οὐκ οἶδα δαϊκτόν.
Φιλολοιδόροιο γλώττης
Φεύγω βέλεμνα κοῦφα.
Στυγέω μάχας παροίνους
Πολυκώμους κατὰ δαῖτας.
Νεοθηλέσ' ἅμα κούραις
Ὑπὸ βαρβίτῳ χορεύων,
Βίον ἥσυχον φέρωμεν

ΜΓ′.

ΕΙΣ ΤΕΤΤΙΓΑ.

ΜΑΚΑΡΙΖΟΜΕΝ σε, τέττιξ,
Οτε δενδρέων ἐπ' ἄκρων
Ολίγην δρόσον πεπωκὼς,
Βασιλεὺς ὅπως, ἀείδεις.
Σὰ γάρ ἐστι καινὰ πάντα,
Οπόσα βλέπεις ἐν ἀγροῖς,
Χ' ὁπόσα φέρουσιν ὗλαι.
Σὺ δὲ φίλιος γεωργῶν,
Απὸ μηδενός τι βλάπτων·
Σὺ δὲ τίμιος βροτοῖσιν,
Θέρεος γλυκὺς προφήτης.
Φιλέουσι μέν σε Μοῦσαι,
Φιλέει δὲ Φοῖβος αὐτὸς,
Λιγυρὴν δ' ἔδωκεν οἴμην.
Τὸ δὲ γῆρας οὔ σε τείρει.
Σοφὲ, γηγενὴς, φίλυπνε,
Απαθὴς, ἀναιμόσαρκε,
Σχεδὸν εἶ θεοῖς ὅμοιος.

ΜΔʹ.

ΟΝΑΡ.

ΕΔΟΚΟΥΝ ὄναρ τροχάζειν,
Πτέρυγας φέρων ἐπ᾽ ὤμων·
Ο δ᾽ Ερως, ἔχων μόλιβδον
Περὶ τοῖς καλοῖς ποδίσκοις,
Εδίωκε καὶ κίχανεν.
Τί θέλει ὄναρ τόδ᾽ εἶναι;
Δοκέω δ᾽ ἔγωγε πολλοῖς
Εν Ερωσί με πλακέντα
Διολισθανεῖν ἐν ἄλλοις,
Ενὶ τῷδε συνδεθῆναι.

ΜΕ′.

ΕΙΣ ΤΑ ΤΟΥ ΕΡΩΤΟΣ ΒΕΛΗ.

Ο ἀνὴρ ὁ τῆς Κυθήρης
Παρὰ Λημνίαις καμίνοις
Τὰ βέλη τὰ τῶν Ερώτων
Επόει, λαβὼν σίδηρον.
Ακίδας δ' ἔβαπτε Κύπρις,
Μέλι τὸ γλυκὺ λαβοῦσα·
Ο δ' Ερως χολὴν ἔμισγεν.
Ο δ' Αρης ποτ', ἐξ ἀϋτῆς
Στιβαρὸν δόρυ κραδαίνων,
Βέλος εὐτέλιζ' Ερωτος·
Ο δ' Ερως, «Τόδ' ἐστὶν» εἶπεν,
«Βαρύ· πειράσας νοήσεις.»
Ελαβεν βέλεμνον Αρης·
Υπεμειδίασε Κύπρις.
Ο δ' Αρης ἀναστενάξας,
«Βαρύ!» φησίν «ἆρον αὐτό.»
Ο δ' Ερως, «Εχ' αὐτό,» φησίν.

ΜϚʹ.

ΕΙΣ ΕΡΩΤΑ.

ΧΑΛΕΠΟΝ τὸ μὴ φιλῆσαι·
Χαλεπὸν δὲ καὶ φιλῆσαι·
Χαλεπώτερον δὲ πάντων
Αποτυγχάνειν φιλοῦντα.
Γένος οὐδὲν εἰς Ερωτα·
Σοφίη, τρόπος πατεῖται·
Μόνον ἄργυρον βλέπουσιν.
Απόλοιτο πρῶτος αὐτὸς
Ο τὸν ἄργυρον φιλήσας.
Διὰ τοῦτον οὐκ ἀδελφὸς,
Διὰ τοῦτον οὐ τοκῆες·
Πόλεμοι, φόνοι δἰ αὐτόν.
Τὸ δὲ χεῖρον, ὀλλύμεσθα
Διὰ τοῦτον οἱ φιλοῦντες.

ΜΖ'.

ΕΙΣ ΓΕΡΟΝΤΑ.

ΦΙΛΩ γέροντα τερπνὸν,
Φιλῶ νέον χορευτήν.
Γέρων δ', ὅταν χορεύῃ,
Τρίχας γέρων μέν ἐστιν,
Τὰς δὲ φρένας νεάζει.

ΜΗ'.

ΕΙΣ ΔΙΟΝΥΣΟΝ.

Ο τὸν ἐν πόνοις ἀτειρῆ
Νέον, ἐν πόθοις ἀταρβῆ,
Καλὸν ἐν πότοις χορευτὴν
Τελέων, Θεὸς κατῆλθεν
Απαλὸν βροτοῖσι φίλτρον,
Πόθον ἄστονον κομίζων,
Γόνον ἀμπέλου, τὸν οἶνον,
Πεπεδημένον ὀπώραις
Επὶ κλημάτων φυλάττειν,
Ιν', ὅταν τέμνωσι βότρυν,
Ανοσοι μένωσι πάντες,
Ανοσοι δέμας θητὸν,
Ανοσοι γλυκύν τε θυμὸν,
Ες ἔτους φανέντος ἄλλου.

ΜΘ'.

ΙΣ ΔΙΣΚΟΝ ΕΧΟΝΤΑ ΑΦΡΟΔΙΤΗΝ.

ΑΡΑ τις τόρευσε πόντον;
Αρα τις μανεῖσα τέχνα
Ανέχευε κῦμα δίσκῳ
Επὶ νῶτα τῆς θαλάττης;
Αρα τις ὕπερθε λευκὰν
Απαλὰν χάραξε Κύπριν,
Νόος ἐς θεοὺς ἀερθεὶς,
Μακάρων φύσιος ἀρχάν;
Ο δέ νιν ἔδειξε γυμνὰν,
Χ' ὅσα μὴ θέμις δ' ὁρᾶσθαι,
Μόνα κύμασιν καλύπτει.
Αλαλημένα δ' ἐπ' αὐτὰ,
Βρύον ὡς ὕπερθε λευκὸν
Απαλοχρόους γαλήνας,
Δέμας ἐς πλόον φέρουσα,
Ρόθιον πάροιθεν ἕλκει.
Ροδέων δ' ὕπερθε μαζῶν,
Απαλῆς ἔνερθε δειρῆς

Μέγα κῦμα πρῶτα τέμνει.
Μέσον αὔλακος δὲ Κύπρις,
Κρίνον ὣς ἴοις ἑλιχθὲν,
Διαφαίνεται γαλήνας.
Ὑπὲρ ἀργύρῳ δ᾽ ὀχοῦνται
Ἐπὶ δελφίσιν χορευταῖς
Δολερὸν νόον μερόπων
Ἔρως, Ἵμερος, γελῶντες.
Χορὸς ἰχθύων τε κυρτὸς,
Ἐπὶ κυμάτων κυβιστῶν,
Παφίης τὸ σῶμα παίζει,
Ἵνα νήχεται γελῶσα.

Ν'.

ΕΙΣ ΟΙΝΟΝ.

ΤΟΝ μελανόχρωτα βότρυν
Ταλάροις φέροντες ἄνδρες
Μετὰ παρθένων ἐπ' ὤμων·
Κατὰ ληνὸν δὲ βαλόντες,
Μόνον ἄρσενες πατοῦσιν
Σταφυλὴν, λύοντες οἶνον,
Μέγα τὸν θεὸν κροτοῦντες
Επιληνίοισιν ὕμνοις,
Ερατὸν πίθοις ὁρῶντες
Νέον ἐς ζέοντα Βάκχον,
Ον ὅταν πίῃ γεραιὸς,
Τρομεροῖς ποσὶν χορεύει
Πολιὰς τρίχας τινάσσων.
Ο δὲ παρθένον λοχήσας
Ερατὸς νέος ἐλυσθεὶς,
Απαλὸν δέμας χυθεῖσαν
Σκιερῶν ὕπερθε φύλλων,
Βεβαρημένην ἐς ὕπνον,

Ες ἔρωτ' ἄωρα θέλγει
Προδότιν γάμων γενέσθαι.
Ο δὲ, μὴ λόγοισι πείθων,
Τότε μὴ θέλουσαν ἄγχει.
Μετὰ γὰρ νέων ὁ Βάκχος
Μεθύων ἄτακτα παίζει.

ΝΑ΄.

ΕΙΣ ΡΟΔΟΝ.

ΣΤΕΦΑΝΗΦΟΡΟΥ μετ' ἦρος
Μέλομαι ῥόδον τέρεινον
Συνέταιρον ὀξὺ μέλπειν.
Τόδε γὰρ θεῶν ἄημα,
Τόδε καὶ βροτῶν χάρημα,
Χάρισίν τ' ἄγαλμ' ἐν ὥραις
Πολυανθέων Ερώτων,
Αφροδίσιόν τ' ἄθυρμα.
Τόδε καὶ μέλημα μύθοις,
Χαρίεν φυτόν τε Μουσῶν.
Γλυκὺ καὶ ποιοῦντι πεῖραν
Εν ἀκανθίναις ἀταρποῖς·
Γλυκὺ δ' αὖ λαβόντι, θάλπειν
Μαλακαῖσι χερσὶ κούφαις
Προσάγοντ' Ερωτος ἄνθος.
Ως σοφῷ τόδ' αὐτὸ τερπνὸν
Θαλίαις τε καὶ τραπέζαις,
Διονυσίαις θ' ἑορταῖς.

Τί δ' ἄνευ ῥόδου γένοιτ' ἄν;
Ῥοδοδάκτυλος μὲν Ἠὼς,
Ῥοδοπήχεες δὲ Νύμφαι·
Ῥοδόχρους δὲ κ' Ἀφροδῖτα
Παρὰ τῶν σοφῶν καλεῖται.
Τόδε καὶ νόσοισιν ἀρκεῖ,
Τόδε καὶ νεκροῖς ἀμύνει,
Τόδε καὶ χρόνον βιᾶται.
Χαρίεν ῥόδων δὲ γῆρας
Νεότητος ἔσχεν ὀδμήν.
Φέρε δὴ, φύσιν λέγωμεν.
Χαροπῆς ὅτ' ἐκ θαλάσσης
Δεδροσωμένην Κυθήρην
Ἐλόχευε πόντος ἀφρῷ,
Πολεμόκλονόν τ' Ἀθήνην
Κορυφῆς ἐδείκνυε Ζεὺς,
Φοβερὴν θέαν Ὀλύμπῳ,
Τότε καὶ ῥόδων ἀγητῶν
Νέον ἔρνος ἤνθισε Χθὼν,
Πολυδαίδαλον λόχευμα·
Μακάρων θεῶν δ' ὅμιλος,
Ῥόδον ὡς γένοιτο, νέκταρ
Ἐπιτέγξας, ἀνέτειλεν
Ἀγέρωχον ἐξ ἀκάνθης
Φυτὸν ἄμβροτον Λυαίῳ.

ΝΒ΄.

ΕΙΣ ΕΑΥΤΟΝ.

ΟΤ᾽ ἐγὼ σε νέοις ὁμιλεῖν
Ἐσορῶ, πάρεστιν ἥβα.
Τότε δὴ, τότ᾽ ἐς χορείην
Ὁ γέρων ἐγὼ πτεροῦμαι.
Περίμεινόν με, Κυβήβα.
Παράδος, θέλω στέφεσθαι·
Πολιὸν δὲ γῆρας ἑκάς·
Νέος ἐν νέοις χορεύσω.
Διονυσίης δέ μοί τις
Φερέτω ῥόον ἀπ᾽ ὀπώρης,
Ἵν᾽ ἴδῃ γέροντος ἀλκὴν,
Δεδαηκότος μὲν εἰπεῖν,
Δεδαηκότος δὲ πίνειν,
Χαριέντως δὲ μανῆναι.

ΝΓ΄.

ΕΙΣ ΤΟΥΣ ΕΡΩΝΤΑΣ.

ΕΝ ἰσχίοις μὲν ἵπποι
Πυρὸς χάραγμ' ἔχουσιν,
Καὶ Παρθίους τις ἄνδρας
Εγνώρισεν τιάραις·
Εγὼ δὲ τοὺς ἐρῶντας
Ιδὼν ἐπίσταμ' εὐθύς.
Εχουσι γάρ τι λεπτὸν
Ψυχῆς ἔσω χάραγμα.

ΝΔ'.

ΠΟΛΙΟΙ μὲν ἡμὶν ἤδη
Κρόταφοι, κάρη δὲ λευκόν·
Χαρίεσσα δ' οὐκ ἔθ' ἥβη
Πάρα· γηραλέοι δ' ὀδόντες·
Γλυκεροῦ δ' οὐκ ἔτι πολλὸς
Βιότου χρόνος λέλειπται·
Διὰ ταῦτ' ἀνασταλύζω
Θαμὰ, Τάρταρον δεδοικώς.
Ἀΐδεω γάρ ἐστι δεινὸς
Μυχὸς, ἀργαλέη δ' ἐς αὐτὸν
Κάθοδος· καὶ γὰρ ἕτοιμον
Καταβάντι μὴ 'ναβῆναι·

ΝΕ'.

ΑΓΕ δὴ, φέρ' ἡμὶν, ὦ παῖ,
Κελέβην, ὅκως ἄμυστιν
Προπίω, τὰ μὲν δέκ' ἐγχέας
Ὕδατος, τὰ πέντε δ' οἴνου
Κυάθους, ὡς ἀνυβριστὶ
Ἀνὰ δ' αὖτε βασσαρήσω.

. . . .

Ἄγε δεῦτε, μηκέθ' οὕτω
Πατάγῳ τε κἀλαλητῷ
Σκυθικὴν πόσιν παρ' οἴνῳ
Μελετῶμεν, ἀλλὰ καλοῖς
Ὑποπίνοντες ἐν ὕμνοις.

ΝϚʹ.

ΤΟΝ Ερωτα γὰρ τὸν ἁϐρὸν
Μέλομαι βρύοντα μίτραις
Πολυανθέμοις ἀείδειν.
Οδε καὶ θεῶν δυνάστης·
Οδε καὶ βροτοὺς δαμάζει.

ΝΖ'.

ΓΟΥΝΟΥΜΑΙ σ', ἐλαφηβόλε,
Ξανθὴ παῖ Διὸς, ἀγρίων
Δέσποιν', Ἄρτεμι, θηρῶν·
Ἥ κου νῦν ἐπὶ Ληθαίου
Δίνῃσι θρασυκαρδίων
Ἀνδρῶν ἐγκαθόρα πόλιν
Χαίρουσ'· οὐ γὰρ ἀνημέρους
Ποιμαίνεις πολιήτας.

ΝΗ'.

ΠΩΛΕ Θρηκίη, τί δή με
Λοξὸν ὄμμασιν βλέπουσα
Νηλεῶς φεύγεις, δοκέεις δέ
  Μ' οὐδέν εἰδέναι σοφόν;
Ισθι τοι, καλῶς μὲν ἄν τοι
Τὸν χαλινὸν ἐμβάλοιμι,
Ηνίας δ' ἔχων στρέφοιμι
  Αμφὶ τέρματα δρόμου.
Νῦν δὲ λειμῶνάς τε βόσκεαι,
Κοῦφά τε σκιρτῶσα παίζεις·
Δεξιὸν γὰρ ἱπποπείρην
  Οὐκ ἔχεις ἐπεμβάτην.

ΝΘ'.

Ατε νεβρὸν νεοθηλέα γαλαθηνὸν, ὅστ' ἐν ὕλῃ
Κεροέσσης ἀπολειφθεὶς ὑπὸ μητρὸς ἐπτοήθη.

Ξ'.

Ἀπό μοι θανεῖν γένοιτ'· οὐ γὰρ ἂν ἄλλη
Λύσις ἐκ πόνων γένοιτ' οὐδαμὰ τῶνδε.

ΞΑ'.

Φέρ' ὕδωρ, φέρ' οἶνον, ὦ παῖ·
Φέρε δ' ἀνθεμεῦντας ἡμῖν
Στεφάνους· ἔνεικον, ὡς μὴ
Πρὸς Ἔρωτα πυκταλίζω.

ΞΒ'.

Ἐπὶ δ' ὀφρύσιν σελίνων
Στεφανίσκους θέμενοι,
Θάλειαν ἑορτὴν
Ἀγάγωμεν Διονύσῳ.

ΞΓ′.

Ω παῖ παρθένιον βλέπων,
Δίζημαί σε· σὺ δ' οὐκ αἴεις,
Οὐκ εἰδὼς ὅτι τῆς ἐμῆς
Ψυχῆς ἡνιοχεύεις.

ΞΔ′.

Εμὲ γὰρ λόγων ἕκητι
Οἱ παῖδες ἂν φιλοῖεν·
Χαρίεντα μὲν γὰρ ᾄδω,
Χαρίεντα δ' οἶδα λέξαι.

ΞΕ′.

Μεγάλῳ δ' ηὖτέ μ' Ερως ἔκοψεν, ὥστε χαλκεὺς,
Πελέκει, χειμερίῃ δ' ἔλουσεν ἐν χαράδρῃ.

ΞϚ′.

Ηρίστησα μὲν ἰτρίου λεπτοῦ μικρὸν ἀποκλὰς,
Οἴνου δ' ἐξέπιον κάδον· νῦν δ' ἁβρῶς ἐρόεσσαν
Ψάλλω πηκτίδα, τῇ φίλῃ κωμάζων παιδὶ ἁβρῇ.

ΞΖ΄.

Ἐγὼ δ᾽ οὔτ᾽ ἂν Ἀμαλθείης
Βουλοίμην κέρας, οὔτ᾽ ἔτεα
Πεντήκοντά τε χἤκατὸν
Ταρτησσοῦ βασιλεῦσαι.

ΞΗ΄.

Μεὶς μὲν δὴ ποσειδηΐων
Ἕστηκε· νεφέλαι δ᾽ ὕδατι
Βαρύνονται, ἄγριοι δὲ
Χειμῶνες παταγοῦσι.

ΞΘ΄.

Μηδ᾽ ὥστε κῦμα πόντιον,
Λάλαζε τῇ πολυκρότῃ
Σὺν Γαστροδώρῃ, καταχύδην
Πίνουσα τὴν ἐπίστιον.

Ο′.

Φίλη γὰρ εἶς ξείνοις· ἔασον δέ με
Διψῶντα πιεῖν.

ΟΑ′.

Εγὼ δ' ἔχων σκύπφον,
Ερξίωνι τῷ λευκολόφῳ
Μεστὸν ἐξέπινον.

ΟΒ′.

Καλλίκομοι κοῦραι Διὸς
Ωρχήσαντ' ἐλαφρῶς.

ΟΓ′.

Στεφάνους δ' ἀνὴρ τρεῖς ἕκαστος εἶχεν,
Τοὺς μὲν ῥοδίνους, τὸν δὲ Ναυκρατίτην.

ΟΔ'.

Πλεκτὰς δ' ὑποθυμιάδας
Περὶ στήθεσι λωτίνας ἔθεντο.

ΟΕ'.

Μεγίσθης δ' ὁ φιλόφρων,
Δέκα δὴ μῆνες, ἐπειδὴ
Στεφανοῦται τῇ τε λύγῳ
Καὶ τρύγα πίνει μελιηδέα.

ΟϚ'.

Καί μ' ἐπίβωτον
Κατὰ γείτονας ποιήσεις.

ΟΖ'.

Καὶ θάλαμος ἐν ᾧ
Κεῖνος οὐκ ἔγημεν, ἀλλ' ἐγήματο.

ΟΗ'.

Τί μὴν πέτεαι, συρίγγων
Κοιλότερα στήθεα
Χρισάμενος μύρῳ;

ΟΘ'.

Ὠνοχόει δ' ἀμφίπολος μέλιχρον οἶνον,
Τριχύαθον κελέβην ἔχουσα.

Π'.

Ψάλλω δ' εἴκοσι
Χορδαῖσι μάγαδιν ἔχων,
Ὦ Λεύκασπι· σὺ δ' ἡβᾷς.

ΠΑ'.

Δακρυόεσσάν τ' ἐφίλησεν αἰχμάν.

ΠΒ'.

Αναπέτομαι δὴ πρὸς Ολυμπον πτερύγεσσι κούφαις
Διὰ τὸν ἔρωτ'· οὐ γὰρ ἐμοὶ παῖς ἐθέλει συνηβᾷν.

ΠΓ.

Εκ ποταμοῦ 'πανέρχομαι πάντα φέρουσα λαμπρά.

ΠΔ'.

Αλλὰ πρόπινε ῥαδινοὺς, ὦ φίλε, μηρούς.

ΠΕ'.

. . . . οἷον
Δοκέει κλύειν γὰρ ἦδε,
Αλέειν τις εἰ θελήσει.

ΠϚ'.

Ερῶ τε δῆτα, κ' οὐκ ἐρῶ,
Καὶ μαίνομαι, κ' οὐ μαίνομαι.

ΠΖ'.

Ἐραμαί τοι συνηβᾷν·
Χαρίεν γὰρ ἔχεις ἦθος.

ΠΗ'.

Καλὸν τῷ ἔρωτι τὰ δίκαια.

ΠΘ'.

Σφαίρῃ δεῦτέ με πορφυρέῃ
Βάλλων χρυσοκόμης Ἔρως,
Νυνὶ ποικίλος λαμβάνων
Συμπαίζειν προκαλεῖται·
Ἡ δ', ἐστὶ γὰρ ἀπ' εὐκτίτου
Λέσβου, τὴν μὲν ἐμὴν κόμην,
Λευκὴ γὰρ, καταμέμφεται,
Πρὸς δ' ἄλλην τινὰ χάσκει.

Ϟ'.

Νῦν δ' ἀπὸ μὲν πόλεως
Στέφανος ὄλωλεν.

ϞΑʹ.

Ἀσήμων ὑπὲρ ἑρμάτων
Φορεῦμαι.

ϞΒʹ.

Σικελικὸν κότταβον
Ἀγκύλῃ δαΐζων.

ϞΓʹ.

Ἀπέκειρας δ' ἁπαλῆς
Κόμης ἄμωμον ἄνθος.

ϞΔʹ.

Θρηϊκίην σίοντα χαίτην.

ϞΕʹ.

Οὐκ ἔτι Θρηϊκίης ἐπιστρέφομαι.

ϞϚʹ.

Κνίζη τις ἤδη καὶ πέπειρα γίνομαι
Σὴν διὰ μαργοσύνην.

ϞΖʹ.

. . . . . μελαμφύλλῳ δάφνᾳ
Χλωρᾷ τ' ἐλαίᾳ τανταλίζει.

ϞΗʹ.

Μυθηταὶ δ' ἐνὶ νήσῳ
Μεγίστῃ διέπουσιν
Ἱερὸν ἄστυ.

ϞΘʹ.

Παρὰ δ' ἦὖτε Πυθόμανδρον κατέδυν' ἔρωτα φεύγων.

Ρʹ.

Κλῦθί μευ γέροντος εὐέθειρα, χρυσόπεπλε κούρα·

ΡΑ′.

Ορσολόπος γὰρ Αρης φιλέει μεναίχμαν.

ΡΒ′.

Οὐδέ τί τοι πρὸς θυμὸν, ὅμως γε μὲν ὡς ἀδοιάστως.

ΡΓ′.

Αδυμελὲς, χαρίεσσα χελιδοῖ.

ΡΔ′.

Μνᾶται (δεῦτε!) φαλακρὸς Αλέξις.

ΡΕ′.

Αρθεὶς δ' ηὖτ' ἀπὸ Λευκάδος
Πέτρης ἐς πολιὸν κῦμα κολυμβῶ, μεθύων ἔρωτι.

ΡϚ′.

Σαυλὰ βαίνειν.

ΡΖ'.

Διονύσου σαυλαὶ Βασσαρίδες.

ΡΗ'.

Οὐδ' ἀργυρέη κω κότ' ἔλαμπε Πειθώ.

ΡΘ'.

Πολλὰ δ' ἐρίβρομον Δεύνυσον.

ΡΙ'.

Οὔτε γὰρ ἡμετέρειον, οὔτε καλόν.

ΡΙΑ'.

Βούλεται ἀπεροπὸς ἡμῖν εἶναι.

ΡΙΒ'.

Τίλλει τοὺς κυάμους ἀσπιδιώτης.

ΡΙΓ'.

Ο δ' ὑψηλὰ νενωμένος.

ΡΙΔ'.

Σινάμοροι πολεμίζουσι θυρωροί.

ΡΙΕ'.

Ἁλιπόρφυρον ῥῆγος.

ΡΙϚ'.

Ἤλιε καλλιλαμπέτη.

ΡΙΖ'.

. . . ὁρᾷν ἀεὶ μήν· πολλοῖς γὰρ μέλεις.

ΡΙΗ'.

Διὰ δεῦτε χαριοεργέος ὀχάνοιο
Χεῖρα τιθέμεναι.

ΡΙΘʹ.

Εκδῦσα χιτῶνα δωριάζειν.

ΡΚʹ.

Πλέξαντες μηροῖσι πέρι μηρούς.

ΡΚΑʹ.

Χεῖρά τ' ἐν ἠγάνῳ βαλεῖν.

ΡΚΒʹ.

Ησαν ποτ', ἦσαν ἄλκιμοι Μιλήσιοι.

ΡΚΓʹ.

Καδδὲ λοπὸς ἐσχίσθη.

ΡΚΔʹ.

Αγχοῦ δαὶ τεῦ Θησέος ἐστὶ λύρη.

ΡΚΕʹ.

Πανδοσία, λεωφόρος, πολύϋμνος, μανιόκηπος.

ΡΚϚʹ.

Ραδινοὺς πώλους.

ΡΚΖʹ.

Τακερὸς δ' ἔρως.

ΡΚΗʹ.

Τίς ἔρος μοι τέρψας θυμὸν ἐπέβη,
Τερένων ἡμιόπων ὑπ' αὐλῶν ὀρχεῖσθαι;

ΡΚΘʹ.

Τὸν λυροποιὸν ἠρόμην Στράττιν εἰ κομήσει.

ΡΛʹ.

Χρήσ' ἐ γὰρ Ταργηλίοις ἐμμελῶς διεκεῖν.

ΡΛΑ΄.

Οἰνοπότης δὲ πεποίημαι.

ΡΛΒ΄.

Λυδοπαθεῖς τινές.

ΡΛΓ΄.

Τί μακρὰ δὴ φρονεῖς, τάλαν;

ΡΛΔ΄.

Ἀλλ', ὦ τρισκεχορημένε Σμερδίη.

ΡΛΕ΄.

Ἀπὸ δ' ἐξείλετο θεσμὸν μέγαν.

ΡΛϚ΄.

Φορτίον ἔρωτος.

ΡΛΖ΄.

Εὖτέ μοι λευκαὶ μελαίναις ἀναμεμίξονται τρίχες.

ΡΛΗ΄.

Ερως ἐσιδών μευ
Υποπόλιον γένειον
Χρυσοφαέννων πτερύγων
Ταρσοῖς παρπέταται.

ΡΛΘ΄.

Χηλινὸν δ' ἄγγος ἔχον
Πυθμένας ἐλείων σελίνων.

ΡΜ΄.

Εἰμὶ λαβὼν εἰσάρας Σαπφὼ παρθένον ἀδύφωνον.

ΡΜΑ΄.

Ασπίδα ῥίψ' ἐς ποταμοῦ καλλιῤῥόου προχοάς.

ΡΜΒ'.

Σίμαλον εἶδον ἐν χορῷ πηκτίδ' ἔχοντα καλήν.

ΡΜΓ'.

Καθαρῇ δ' ἐν κελέβῃ πέντε καὶ τρεῖς ἀναχείσθω.

ΡΜΔ'.

Κοίμησον, Ζεῦ, σόλοικον φθόγγον.

ΡΜΕ'.

Κλευβούλου μὲν ἔγωγ' ἐρῶ,
Κλευβούλῳ δ' ἐπιμαίνομαι·
Κλεύβουλον δὲ διΐδεῖν ἐπιποθῶ.

ΡΜϚ'.

Ω 'ναξ, ᾧ δαμάλης Ερως
Καὶ Νύμφαι κυανώπιδες
Πορφυρέη τ' Αφροδίτη
Συμπαίζουσιν, ἐπιστρέφεαι δ'

Ὑψηλὰς ὀρέων κορυφὰς,
Γουνοῦμαί σε· σὺ δ᾽ εὐμενὴς
Ἔλθ᾽ ἡμῖν, κεχαρισμένης δ᾽
Εὐχωλῆς ἐπακούειν·
Κλευβούλῳ δ᾽ ἀγαθὸς γενοῦ
Σύμβουλος· τὸν ἐμὸν δ᾽ ἔρωτα
Οδ᾽ οὐ νῦν θέλει δέχεσθαι.

ΡΜΖ΄.

Οὐδ᾽ αὖ μ᾽ ἐάσεις μεθύοντ᾽ οἴκαδ᾽ ἀπελθεῖν.

ΡΜΗ΄.

Κωμάζει δὲ ὡς ἂν δεῖ Διόνυσος.

ΡΜΘ΄.

Χθόνιον δ᾽ ἐμαυτὸν ἦρεν.

ΡΝ΄.

Ἀστράγαλαι δ᾽ Ἔρωτός εἰσι μανίαι τε καὶ κύδοιμοι

ΡΝΑ΄.

Ξανθῇ δ' Εὐρυπύλῃ μέλει
Ὁ περιφόρητος Ἀρτέμων.

ΡΝΒ΄.

Πρὶν μὲν ἔχων κερβέριον, καλύμματ' ἐσφηκωμένα,
Καὶ ξυλίνους ἀστραγάλους ἐν ὠσὶ καὶ ψιλὸν περὶ
Πλευρῇσι δισσῇσι βοὸς
Νεόπλυτον εἴλυμα κακῆς ἀσπίδος, ἀρτοπώλισιν
Κἠθελοπόρνοισιν ὁμιλέων ὁ πονηρὸς Ἀρτέμων,
Κίβδηλον εὑρίσκων βίον,
Πολλὰ μὲν ἐν δουρὶ τιθεὶς αὐχένα, πολλὰ δ' ἐν τροχῷ,
Πολλὰ δὲ νώτῳ σκυτίνῃ μάστιγι θωμιχθεὶς, κόμην
Πώγωνά τ' ἐκτετιλμένος,
Νῦν δ' ἐπιβαίνει σατινέων, χρύσεα φορέων καθέρματα
Παῖς ὁ Κύκης, καὶ σκιαδίσκην ἐλεφαντίνην φορεῖ
Γυναιξὶν αὔτως....

ΡΝΓ΄.

Καλόν ἐστι βαδίζειν,
Οπου λειμῶνες κομῶσιν,
Οπου λεπτὴν ἡδυτάτην
Αναπνεῖ Ζέφυρος αὔρην,
Κλῆμα τὸ βάκχειον ἰδεῖν,
Χ' ὑπὸ τὰ πέταλα δῦναι,
Απαλὴν παῖδα κατέχων
Κύπριν ὅλην πνέουσαν.

ΡΝΔ΄.

ΕΙΣ ΑΠΟΛΛΩΝΑ.

Ανὰ βάρβιτον δονήσω.
Αεθλος μὲν οὐ πρόκειται·
Μελέτη δ' ἔπεστι παντὶ
Σοφίης λαχόντ' ἄωτον.
Ελεφαντίνῳ δὲ πλήκτρῳ
Λιγυρὸν μέλος κροαίνων
Φρυγίῳ ῥυθμῷ βοήσω,
Ατε τις κύκνος Καΰστρου,
Πολιοῖς πτεροῖσι μέλπων·
Ανέμου σύναυλος ἠχή·

Σὺ δὲ, Μοῦσα, συγχόρευε.
Ιερὸν γάρ ἐστι Φοίβου
Κιθάρη, δάφνη, τρίπους τε.
Λαλέω δ' ἔρωτα Φοίβου,
Ανεμώλιον τὸν οἶστρον·
Σαόφρων γάρ ἐστι κούρη.
Τὸ μὲν ἐκπέφευγε κέντρον,
Φύσεως δ' ἄμειψε μορφὴν,
Φυτὸν εὐθαλὲς δ' ἐπηχεῖ.
Ο δὲ Φοῖβος ᾖε, Φοῖβος
Κρατέειν κόρην νομίζων.
Χλοερὸν δρέπων δὲ φύλλον,
Εδόκει τελεῖν κυθήρην.
Αγε, θυμὲ, πῆ μέμηνας,
Μανίην μανεὶς ἀρίστην;
Τὸ βέλος φέρε κρατύνων,
Σκοπὸν ὡς βαλὼν ἀπέλθῃς·
Τὸ δὲ τόξον Αφροδίτης
Αφες· ὡς θεοὺς ἐνίκα.
Τὸν Ανακρέοντα μιμοῦ,
Τὸν ἀοίδιμον μελιστήν.
Φιάλην πρόπινε παισὶν,
Φιάλην λόγων ἐραννήν·
Απὸ νέκταρος ποτοῖο
Παραμύθιον λαβόντες,
Φλογερὸν φυγόντες ἄστρον. . .

ΡΝΕʹ.

Σὺ γὰρ δόλῳ, σύ τοι φθόνῳ
Ερωτ' ἔθηκας ἀνδράσιν·
Λύρην δ' ἄλυπα παστάδων
Φιλαμάτων τε κεδνῶν.
Πόθων κύπελλα κίρνη·
Οταν θέλης δὲ, φεύγεις.
Λύρης δ' ἐμῆς ἀοιδὰν
Οὐκ ἂν λίποιμι τυτθόν.
Ξείνοισι δ' ἄγχι Μυσῶν
Δολίοις ἀπίστοις ἀνδάνοις
Εμοὶ δὲ τῷ λυροκτύπῃ
Μούσας φρεσὶν ἀποίκους
Αχανδέας ὀρίνοις
Αἴγλαν τε λαμπρύνοις.

ΡΝϚʹ.

ΕΙΣ ΧΡΥΣΟΝ.

Ο δραπέτας ὁ Χρυσὸς
Οταν με φεύγῃ κραιπνοῖς
Διηνέμοις τε ταρσοῖς

(Αεὶ δ', ἀεί με φεύγει),
Οὐ μὶν διώκω· τίς γὰρ
Μισοῦν θέλει τι θηρᾷν;
Εγὼ δ' ἄφαρ λιασθεὶς
Τοῦ δραπέταο Χρυσοῦ,
Εμῶν φρενῶν μὲν αὔραις
Φέρειν ἔδωκα λύπας,
Λύρην δ' ἑλὼν ἀείδω
Ερωτικὰς ἀοιδάς.
Πάλιν δ' ὅταν με θυμὸς
Υπερφρονεῖν διδάξῃ,
Αφνω προσεῖφ' ὁ δραπέτας,
Φέρων μέθαν δὴ φροντίδων,
Ελὼν μιν ὡς μεθ' ἡμῶν
Λύρης γένωμαι δαρόν.
Απιστ', ἄπιστε Χρυσὲ,
Μηδὲν δόλοις με θέλγεις·
Πλέον χρυσοῦ τὰ νεῦρα,
Πόθους τε καλοὺς ᾄδειν.

ΡΝΖ'.

Θεάων ἄνασσα, Κύπρι,
Ἵμερε, κράτος χθονίων,
Γάμε, βιότοιο φύλαξ,
Ὑμέας λόγοις λιγαίνω·
Ὑμέας στίχοις κυδαίνω,
Ἵμερον, Γάμον, Παφίην.
Δέρκεο τὴν νεᾶνιν, δέρκεο, κοῦρε.
Ἔγρεο, μή σε φύγῃ πέρδικος ἄγρα.
Στρατόκλεις, φίλος Κυθήρης,
Στρατόκλεις, ἄνερ Μυρίλλης,
Ἴδε τὴν φίλην γυναῖκα·
Κομάει, τέθηλε, λάμπει.
Ῥόδον ἀνθέων ἀνάσσει·
Ῥόδον ἐν κόραις Μύριλλα.
Ἥλιος τὰ σέθεν δέμνια φαίνοι·
Κυπάριττος πεφύκοι σεῦ ἐνὶ κηπῷ.

ΑΝΑΚΡΕΟΝΤΟΣ

ΕΠΙΓΡΑΜΜΑΤΑ.

7

ΑΝΑΚΡΕΟΝΤΟΣ
ΕΠΙΓΡΑΜΜΑΤΑ.

Α'.

Η τὸν θύρσον ἔχουσ' Ελικωνιὰς, ἥ τε παρ' αὐτὴν
Ξανθίππη, Γλαύκη τ', εἰς χορὸν ἐρχόμεναι,
Εξ ὄρεος χωρεῦσι, Διωνύσῳ δὲ φέρουσιν
Κισσὸν καὶ σταφυλὴν, πίονα καὶ χίμαρον.

Β'.

Οὗτος Φειδόλα ἵππος ἀπ' εὐρυχόροιο Κορίνθου
Αγκειται Κρονίδᾳ, μνᾶμα ποδῶν ἀρετᾶς.

Γ'.

Πρηξιδίκη μὲν ἔρεξεν, ἐβούλευσεν δὲ Δύσηρις
Εἷμα τόδε· ξυνὴ δ' ἀμφοτέρων σοφίη.

Δ'.

Πρόφρων, Αργυρότοξε, δίδου χάριν Αἰσχύλου υἱῷ
Ναυκράτει, εὐχωλὰς τάσδ' ὑποδεξάμενος.

Ε΄.

Πρὶν μὲν Καλλιτέλης μ' ἱδρύσατο· τόνδε δ' ἐκείνου
Εκγονοι ἐστάσανθ', οἷς χάριν ἀντιδίδου.

Ϛ΄.

Πραξαγόρας τάδε δῶρα θεοῖς ἀνέθηκε, Λυκαίου
Υἱός· ἐποίησεν δ' ἔργον Αναξαγόρας.

Ζ΄.

Παιδὶ φιλοστεφάνου Σεμέλας ἀνέθηκε Μέλανθος
Μνᾶμα χοροῦ νίκας, υἱὸς Αρηϊφίλου.

Η΄.

Ρυσαμένα Πύθωνα δυσαχέος ἐκ πολέμοιο,
Λσπὶς Αθηναίης ἐν τεμένει κρέμαται.

Θ΄.

Σάν τε χάριν, Διόνυσε, καὶ ἀγλαὸν ἄστεϊ κόσμον
Θεσσαλίας μ' ἀνέθηκ' ἀρχὸς Εχεκρατίδας.

Ι'.

Εὔχεο Τιμώνακτι θεῶν κήρυκα γενέσθαι
  Ηπιον, ὅς μ' ἐρατοῖς ἀγλαΐην προθύροις
Ερμῇ τε κρείοντι καθέσσατο· τὸν δ' ἐθέλοντα
  Αστῶν καὶ ξείνων γυμνασίῳ δέχομαι.

ΙΑ'.

Στροίβου παῖ, τόδ' ἄγαλμα, Λεώκρατες, εὖτ' ἀνέθηκας
  Ερμῇ, καλλικόμους οὐκ ἔλαθες Χάριτας,
Οὐδ' Ακαδημίαν πολυγαθέα, τῆς ἐν ἀγοστῷ
  Σὴν εὐεργεσίην τῷ προσιόντι λέγω.

ΙΒ'.

Βωμοὺς τούσδε θεοῖς Σοφοκλῆς ἱδρύσατο πρῶτος,
  Ος πλεῖστον Μούσης εἶχε κλέος τραγικῆς.

ΙΓ'.

Τελλίᾳ ἱμερόεντα βίον πόρε, Μαιάδος υἱὲ,
  Αντ' ἐρατῶν δώρων τῶνδε χάριν θέμενος.
Δὸς δέ μιν εὐθυδίκων Εὐωνυμέων ἐνὶ δήμῳ
  Ναίειν, αἰῶνος μοῖραν ἔχοντ' ἀγαθήν.

ΙΔ′.

Καρτερὸς ἐν πολέμοις Τιμόκριτος, οὗ τόδε σᾶμα.
  Αρης δ' οὐκ ἀγαθοῦ φείδεται, ἀλλὰ κακῶν.

ΙΕ′.

Αβδήρων προθανόντα τὸν αἰνοβίην Αγάθωνα
  Πᾶσ' ἐπὶ πυρκαϊῆς ἥδ' ἐβόησε πόλις.
Οὔ τινα γὰρ τοιόνδε νέων ὁ φιλαίματος Αρης
  Ηνάρισεν στυγερῆς ἐν στροφάλιγγι μάχης.

Ις′.

Καί σε, Κλεηνορίδη, πόθος ὤλεσε πατρίδος αἴης,
  Θαρσήσαντα Νότου λαίλαπι χειμερίῃ.
Ωρη γάρ σε πέδησεν ἀνέγγυος· ὑγρὰ δὲ τὴν σὴν
  Κύματ' ἀφ' ἱμερτὴν ἔκλυσεν ἡλικίην.

ΙΖ′.

Βουκόλε, τὰν ἀγέλαν πόῤῥω νέμε, μὴ τὸ Μύρωνος
  Βοΐδιον ὡς ἔμπνουν βουσὶ συνεξελάσῃς.

ΙΗ'.

Βοίδιον, οὐ χοάνοις τετυπωμένον, ἀλλ' ὑπὸ γήρως
Χαλκωθὲν, σφετέρῃ ψεύσατο χειρὶ Μύρων.

ΙΘ'.

Αλκίμων σ', ὦ 'ριστοκλείδη, πρῶτον οἰκτείρω φίλων.
Ωλεσας δ' ἥβην, ἀμύνων πατρίδος δουλήϊην.

Κ'.

Οὐ φίλος ὃς, κρητῆρι παρὰ πλέῳ οἰνοποτάζων,
Νείκεα καὶ πόλεμον δακρυόεντα λέγει,
Αλλ' ὅστις, Μουσέων τε καὶ ἀγλαὰ δῶρ' Αφροδίτης
Συμμίσγων, ἐρατῆς μνήσκεται εὐφροσύνης.

ΔΙΑΦΟΡΩΝ ΠΟΙΗΤΩΝ

ΗΜΙΑΜΒΙΑ

ΑΝΑΚΡΕΟΝΤΕΙΑ.

ΒΑΣΙΛΙΟΥ.

Α'.

ΑΝΑΚΡΕΩΝ ἰδών με,
Ο Τήϊος μελῳδὸς,
Οναρ λέγων προσεῖπε,
Κἀγὼ, δραμὼν πρὸς αὐτὸν,
Περιπλάκην φιλήσας.
Γέρων μὲν ἦν, καλὸς δὲ,
Καλὸς δὲ καὶ φίλευνος.
Τὸ χεῖλος ὦζεν οἴνου.
Τρέμοντα δ' αὐτὸν ἤδη
Ερως ἐχειραγώγει.
Ο δ', ἐξελὼν καρήνου,
Εμοὶ στέφος δίδωσι·
Τὸ δ' ὦζ' Ανακρέοντος.
Εγὼ δ' ὁ μωρὸς ἄρας
Εδησάμην μετώπῳ·
Καὶ δῆθεν ἄχρι καὶ νῦν
Ερωτος οὐ πέπαυμαι.

Β′.

ΔΟΤΕ μοι λύρην Ομήρου,
Φονίης ἄνευθε χορδῆς.
Φέρε μοι κύπελλα θεσμῶν,
Φέρε μοι νόμους κεράσσω,
Μεθύων ὅπως χορεύσω.
Υπὸ σώφρονος δὲ λύσσης
Μετὰ βαρβίτων ἀείδων
Τὸ παροίνιον βοήσω·
Δότε μοι λύρην Ομήρου,
Φονίης ἄνευθε χορδῆς.

Γ'.

ΠΡΟΣ ΖΩΓΡΑΦΟΝ.

ΑΓΕ, ζωγράφων ἄριστε,
Λυρικῆς ἄκουε Μούσης,
Φιλοπαίγμονός τε Βάκχου
Ἑτεροπνόους ἐναύλους.
Γράφε τὰς πόλεις τὸ πρῶτον
Ἱλαράς τε καὶ γελώσας·
Ὁ δὲ κηρὸς εἰ δύναιτο,
Γράφε καὶ νόμους φιλούντων.

ΙΟΥΛΙΑΝΟΥ ΑΙΓΥΠΤΙΟΥ.

ΕΙΣ ΕΡΩΤΑ.

ΣΤΕΦΟΣ πλέκων ποθ', εὗρον
Εν τοῖς ῥόδοις Ερωτα,
Καὶ, τῶν πτερῶν κατασχὼν,
Εϐάπτισ' εἰς τὸν οἶνον,
Λαϐὼν δ' ἔπιον αὐτόν·
Καὶ νῦν ἔσω μελῶν μου
Πτεροῖσι γαργαλίζει.

ΑΔΕΣΠΟΤΟΝ.

ΗΔΥΜΕΛΗΣ Ανακρέων,
Ηδυμελὴς δὲ Σαπφώ.
Πινδαρικὸν τόδε μοι μέλος
Συγκεράσας τις ἐγχέοι.
Τὰ τρία ταῦτά μοι δοκεῖ
Καὶ Διόνυσος ἐλθὼν
Καὶ Παφίη λιπαρόχροος
Κ' αὐτὸς Ερως ἂν ἐκπιεῖν.

ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ

ΕΙΣ ΤΑ ΕΝ ΠΥΘΙΟΙΣ ΘΕΡΜΑ.

ΒΟΥΛΕΙ μαθεῖν, ἄνθρωπε,
Θερμῶν ἄτεχνον ῥεῦμα,
Πῶς καὶ πόθεν νοσοῦσι
φανὲν πρόκειται πᾶσιν
Ἀνάργυρον δώρημα
Καὶ προσφιλὲς γάνυσμα;
Ἔγωγε τοῦτο δείξω,
Ἐγὼ φέρων διδάξω
Ὅσον σοφοὶ νοοῦσιν,
Ὅσον φύσις παιδεύει
Καὶ πεῖρα συνδικάζει.
Πρόσχες· φράσων γὰρ ἥκω.

Ἔνερθε γῆς σήραγγας
Εἶναι στενὰς νοοῦσιν,
Ὕδωρ δ' ἐκεῖθεν ἔνθεν
Ἀντιτρέχον πιλεῖσθαι,
Πιλούμενον δὲ θέρμην

Οὐ τὴν τυχοῦσαν πάσχειν.
Ἄλλοι λέγουσι τοῦτο·
Μέταλλά που θειώδη
Γῆς ἐν μυχοῖς ὑπάρχειν·
Τὸ γειτονοῦν οὖν νᾶμα,
Θέρμης τυχὸν βιαίας,
Κάτω μένειν οὐκ ἴσχον,
Ἄνω τρέχει τῷ πλήθει.
Ποῖον δέχῃ; τὸ πρῶτον;
Ἀλλ' οὐ δέδεγμαι τοῦτο·
Τῷ δευτέρῳ σύμφημι.
Ὀδμὴ γάρ ἐστιν, οἶδας,
Μυδῶσα, δυσπνοοῦσα,
Τρανόν τε μαρτυροῦσα.
Οὕτω προῆλθε πᾶσι
Τὸ θερμόβλυστον ῥεῖθρον,
Ἱπποκράτης ἄψυχος,
Τέχνης ἄνευ Γαληνός.
Πίστις δὲ τούτου, νῆσος
Τὸ πῦρ ἄνω φυσῶσα
Πολλῷ βρέμον σὺν ἤχῳ
Πολλῇ τε σὺν κινήσει.
Οἶδεν φέρειν τοιαῦτα
Τιτανία Μηδείας,
Καὶ Περσικὴ Πιττάκη,

Καὶ Λυδία πλουτοῦσα
Μεταλλόχρυσον γαῖαν.
Ηρακλέων στηλῶν δὲ
Πόῤῥω πέφυκε πλεῖστα.
Εν δ' αὖ γε Πιθηκούσαις
Καὶ Λιπάρᾳ τῇ νήσῳ
Αφεγγές ἐστιν ἆσθμα
Ο νυκτί περ παμφαῖνον
Πέμπει λίθους θειώδεις,
Πολυψόφους, βροντώδεις,
Οψει τὸ πᾶν δηλοῦντας.
Εστι δὲ μικρὰ ταῦτα
Πρὸς ἄλλα κρείττω μείζω.
Πηγὴ τελεῖ γὰρ λήθην,
Αλλη μέθην ποιεῖ δὲ,
Αλλη δ' ἔλαιον βλύζει,
Αλλη γάλα προτείνει·
Καί που τροχάζει νᾶμα
Πτηνῶν ἄχος νοσούντων·
Καί που ποθοῦσιν οἶνον
Μίσητρόν ἐστιν ὕδωρ·
Καί που μέσον θαλάσσης
Πίδαξ ἀναῤῥοιβδεῖται·
Καὶ χασμάτων ἐκπνεῖται
Προλεκτικόν που πνεῦμα.

Ασφαλτον ἄλλη γῆ δὲ
Πῶς ἐξάγει; τί τοῦτο;
Ω θαυμάτων τὸ θαῦμα!
Πηγὴ ψόγῳ θολοῦται,
Αἰνουμένη δὲ λάμπει·
Αλλοι λέγουσιν ἄλλην
Κρυπτοὺς δόλους ἐλέγχειν·
Αλλην καθαρτικὴν δὲ
Χυμῶν μόνων θρυλλοῦσιν·
Αλλην δέμας κρατύνειν
Χαῦνον διϊστοροῦσιν.
Υδωρ πικρὸν τελεῖ δὲ
Φῶς ἡλίου καυσῶδες,
Ο νὺξ γλυκαίνειν οἶδεν
Εἰς ἡδύληπτον ἕλξιν.
Ολβος δὲ πηγῆς ἐστὶ
Φύσιν κάτω τὴν κούφην,
Ολκὴν δὲ τὴν βαρεῖαν
Ανω φέρων ὡς ἄχνην.
Αλλος δὲ ῥοῦς μικρός σοι
Ος σωμάτων τὰς θλάσεις
Οστῶν τε τὰς κατάξεις
Σφίγγει, τρέφει, πιαίνει.
Θέλεις προσοίσω πλείω;
Εστιν, λέγουσι, νᾶμα,

Οπερ, βαλὼν εἰς ἄγγος,
Εἰ νυξὶν αἰθριάζοις
Κρυσταλλόπηκτον εὕροις.
Εστιν, λέγουσιν, ἄλλο
Εξ οὗ πιεῖν προκύψας,
Δῦνον βλέπεις, σε φεῦγον,
Γῆς μητρὸς ὡς ἐν κόλποις.
Εστιν δὲ ῥοῦς (ὦ θαῦμα!)
Ος, εἰ δεδέξεταί τι,
Λίθον τελεῖ τὸ πρᾶγμα
Εν ἡμέραις οὐ πλείσταις.
Αλλην λέγουσι κρήνην
Βραχὺ βρύουσαν ὕδωρ,
Ητις, παρόντος ὄχλου,
Πλείω δίδωσι ῥεῖθρα.
Αλλην δέ που πιστοῦνται,
Η, χείματος παρόντος,
Ανικμός ἐστι πᾶσα,
Προχεῖ θέρους δὲ νᾶμα.
Αλλην ἀκούεις πάντως
Υδωρ φέρειν νιτρῶδες,
Ως ῥυμμάτων μὴ δεῖσθαι
Λελουμένους ἐκεῖθι.
Θερμὰ προχεῖ δὲ λίμνη,
Ως μὴ πίνεσθαι ζώοις·

Οζει γὰρ ὥς τι πῦον
Η σῆψις ἄλλης ὕλης.
Εκεῖ λέγουσιν εἶναι
Πολλὰς φυτῶν αἰγείρους
Ηλεκτρον ἐξαγούσας,
Τὸ χρυσόμορφον εἶδος·
Πίπτει δὲ τοῦτο πρῶτον
Ως δάκρυον γλοιῶδες,
Επειτα δὴ πετροῦται·
Ω τοῦ ξένου μετάλλου!
Δεῦρο φράσω καὶ τἄλλα.
Φέρει τόπος τις λίμνην
Μικρὰν λίαν, κυκλώδη,
Πρὸς ἣν θέλων λουθῆναι
Πεπλησμένην εὑρήσεις·
Εως δὲ πεντήκοντα
Λελουμένους καθαίρει·
Εἰ δ' αὖ τις αὐτῇ πλείους
Ανδρας φέρει λουθῆναι,
Εξω τρέχουσα ῥίπτει
Τοὺς ἀκρίτως τρυφῶντας.
Πέτρας καπνὸς δ' ἐξέρπει
Κρύπτων ἔσω τὸ καῖον,
Οπερ σαφῶς ἀνάψεις,
Ελαιον εἴπερ στάξεις.

Ἄλλη δέ τις βραχεῖα
Πῦρ ἐξέθαλψε πέτρα,
Εἰς ἣν ἔλαιον ῥαίνων
Πάντως σβέσεις τὸ φαῖνον.
Δέλτοι φέρουσιν ἄλλην
Ὥρα θέρους βαθείᾳ
Πῦρ ἐξ ὀπῆς ἀνίσχειν,
Χειμῶνος ὕδωρ ῥεῖν δέ.
Λίθους ἔχει δὲ ῥεῖθρον
Ἅπτοντας ὡσεὶ δᾷδας,
Οὓς ῥιπίδι ψυχάζων
Τὸν φλογμὸν ἐκπραΰνεις·
Εἰ δ' αἷμα ῥαίνων σπείσεις,
Τὸ πῦρ πλέον τυφοῦται.
Ἄλλης ὀπῆς ὠθεῖται
Ὕδωρ τε καὶ πῦρ μίγδην,
Καὶ τὴν φίλεχθρον μῖξιν
Τετρακτύος πιστοῦται.
Οὕτω φύσεις ἀπείρους
Ὁ δεσπότης ἁπάντων
Κτίζων, ἄγων, ἰθύνων,
Κιρνῶν, πλέκων, ὡς οἶδε,
Πρὸς θαῦμα καὶ λατρείαν
Φύσεις σαφῶς ἐγείρει.
Τοῦτον κάλει θεόν σου,

Τοῦτον φρεσὶ φαντάζου,
Μηδὲν τυπῶν πρὸς εἶδος,
Εἰ μὴ θέλεις γε πταίειν.
Αγνωστόν ἐστι πνεῦμα,
Αῤῥητόν ἐστι πρᾶγμα,
Αληπτόν ἐστι θαῦμα,
Αναρχοφωτόμυστον,
Αῤῥητολεπτόπνευστον,
Κόσμους φέρον καὶ βίους
Εν πανσόφῳ χωρίῳ,
Εν ἐνδίκῳ προνοίᾳ.
Οὕτω τὰ μὲν κατεῖδον,
Τὰ δ᾽ αὖ βίβλοι βοῶσιν,
Τὰ δ᾽ αὖ συνῆξε πεῖρα,
Καὶ πίστις ἐστὶ πάντως
Τὰ δῆλα τῶν ἀδήλων,
Τὰ μικρὰ τῶν μεγίστων.
Τούτων σκοπῶν τὸ θαῦμα,
Οἶδα, πλέον ποθήσεις
Τὴν τρισσόφωτον φαῦσιν,
Ποθῶν δὲ καὶ ζητήσεις·
Ζητῶν δὲ καὶ θεώσεις
Μετουσίᾳ τὸ κρεῖττον.

NOTULÆ
IN ODAS.

NOTULÆ

IN ODAS.

Α. Lemma e Vaticano libro sumsi, ut Od. 8, 23, 28, 29, 31, 36, 39, 50.

Γ′. Pag. 8, 2. Lectionem Vaticanam, pro vulgata *παλάμαισι χ.*, recepi. Consequutio particularum *τὲ-δὲ* non est prorsus insolens.

Ε′. Reliqui hoc initium, *στέψον οὖν*, etsi Baxtero vix credam, qui has syllabas pro anapesto habet. Ipsi quidem favere videntur primi Odarii 28[i] versus, *Ἄγε, ζωγράφων ἄριστε, Γράφε, ζωγράφων ἄριστε.* Sed duplex ζ emolliri voce potest, ut simplex esse videatur; ψ non item.

Ϛ′. Vaticanus, *ἀθύρειν προχέειν*, et *προχέων* a manu secunda. Ordo, *ἀθύρει προχέειν στομάτων ὀμφάν.*

Ζ′. De adverbio *χαλεπῶς* nihil esse potest dubii, quamvis in Vaticano *χαλεπὸς* legatur. Exhibet etiam *βαδίζων*, quod Levesquius in Notitiis MSS. transitive accipit, *gradi faciens*, et lepide defendit. Admirabilius etiam doctrinæ suæ circa grammaticam specimen ad Od. 12 exhibuit, ubi lec-

tionem codicis, λάλευ χελιδὼν, merum calami lapsum, iis vindicat argumentis, quæ vel puer, qui nuperrime manum ferulæ subduxerit, non refellenda crederet, adeo sunt inepta. Homo ille ex iis fuit qui se *rebus* studere gloriantur, et grammaticos, quos *verba* et voces scire aiunt, præterea que nihil, summo cum fastu despiciunt. Sycophantis id genus suadeo, ut res suas sibi habeant, et a verbis tractandis abstineant, ne ridiculis istis grammaticis fiant etiam magis ridiculi.

Θ'. Pag. 15. In versu πιοῦσα δ' ἂν χορεύσω, fateor me ad ἂν offendere. Forsan, πιοῦσα δ' αὖ, χορεύσω. Permutari ἂν et αὖ solenne est, quod multi ostenderunt, et ipse olim.

Ι'. Οπως—νιν, lectio est Vaticana.

ΙΔ'. Τί γὰρ βάλωμεν ἔξω displicuit, nec immerito. Correxere βαλώμεθ', bene ad rem. Forsan, λάβωμεν: supra, λαβὼν θώρηκα. Quid notius verborum λαβεῖν et βαλεῖν synchysi?

ΙΕ'. Scripsi φθονέω, pro vulgato φθονῶ, e codice Parisino 1630, in quo forte hoc odarium reperi. Idem codex pro ἐμοὶ habet bis ἐμοῦ, et desinit in τίς οἶδε.

ΙϚ'. In fine, vulgo βαλών με. Restitui Vaticanam scripturam, obloquente Fischero, nequicquam.

IZ΄. Codex 1630, in quo et hoc odarium inveni, exhibet vers. 1. τορεύσας: 6. με: 7. bis μηδ᾽ et ἁμάξας: 12. ἀλλ᾽ ἀμπ. χλοώσας: 13. καὶ βότρ. γελῶντας: 15. σὺν τῷ καλῷ: caret autem vers. 3, 4, 10, 11, 14, 16. Hæ lectiones jam ex Anthologia notæ sunt. Inde nonnulla sumsi. Pro κατ᾽ αυτὸ vers. 7. malui κατ᾽ αὐτοῦ e Vaticano: quod defendi potest e lectione Vaticana versuum 12, 13: ποίησον ἀμπέλους μοι Καὶ βότρυας κατ᾽ αὐτῶν, ubi κατ᾽ αὐτῶν Brunckio eximie placebat. Sunt et aliæ varietates alibi quærendæ.

IH΄. Vatic. τὰ πρὸιτ᾽ ἡμῖν τὰ τερπνά. Brunckius, τὰ τερπνὰ τὴν πρῶθ᾽ ἡμῖν. Malui codici pressius insistere. Ceterum spondæum secundæ sedis vel in gemino Anacreontis carmine ferrem libens; quidni in notho? In reliquis Brunckii recensionem, etsi liberiorem, fere secutus sum, subinde revocatis Stephanianis lectionibus. Versu ult. ἅμα δὴ emendatio est Medenbachii.

K΄. Μασθῶν et μάργαρος sunt in Vaticano, qui et μάργαρον a secunda manu exhibet.

KI΄. Εἰ δ᾽ οὖν μὴ τὸ πρίασθαι. Sic Vaticanus liber, quem frustra Brunckius mendosum esse ait. Quid enim hac scriptura nitidius? Ipse inanem molitur operose conjecturam.

ΚΔʹ. Revocavi pristinum et Vatic. τέλος. Cui bono conjectura τέρμα, in odario isto ἀμέτρῳ? Versus quinti syllaba periit una: forsan, Μέθ. δή με.

ΚΘʹ. Pag. 37, 3. Post ποιήσεις editores distinxere, quasi esset aposiopesis, ita ut ipsis ἁπαλὸν γέμ. sint verba Poetæ ad pictorem, quibus illum moneat de labiorum pingendorum artificio. Sed puto quem exhibui sensum esse, ut faciliorem, ita nitidiorem: « labia illa tam delicatula, tam Suadæ « plena, non jam novi quo poteris modo apte « reddere. »

ΛΒʹ, ϛʹ. Ποῶ e Vatic. pro ποιῶ, ut Od. 45, 4. Infra, pro vulgato Καρίης Ῥόδου τε, restitui Vaticanam lectionem, eamque exquisitiorem.

ΛΗʹ. Versu 12, inserui conjunctionem, Hermanno monente de Metris p. 476, quem cf. et p. 481.

ΛΘʹ. Versu 9, Vatic. λυσιπαίγμων. Correxere, λυσιπήμων. Prætuli λυροπαίγμων, Hermanni emendationem.

ΜΑʹ. Pag. 52. Deest versiculus. Barnesius conjecit apte ad rem, Μετὰ τῶν καλῶν ἐφήβων.

ΜΓʹ. Versu 16, omnes φίλυμνε. Restitui φίλυπνε e Vaticano.

ΜΕʹ. Nolui ηὐτέλιζ' cum ceteris scribere.

ΜΗʹ. Versu 9, correxere φυλάττων: potest stare

infinitivus activus, nec insolenter. Versu 12, vulgo θετητόν: Vatic. θἶητὸν, unde feci θητητόν.

ΜΘ', ιϛ'. Vulgo ἀλαλημένη: Vatic. ἀλαλημένος.

ΝΑ', ϛ'. Μέλομαι dedi e Vaticano pro vulgata μέλπομαι: et sic legit Hermannus de Metr. pag. 481; e cujus emendatione edidi et versum seq., variis modis tentatum a criticis. Corrupta est codicis lectio: σὺν ἑταιρεῖ αὔξει μέλπην.

ΝΒ', α'. Vatic. ὁμίλουν ἐσορῶν. Hanc scripturam fere servavi. In difficiliora alii abierunt. Si de verbo ὁμιλόω constaret, scripsissem ὁμιλοῦν. Pes secundus per synizesin legendus.

ΝΔ'. Quæ præcesserunt carmina in Vaticano τῶν Ἀνακρέοντος Συμποσιακῶν codice continentur; quæ sequuntur usque ad ΡΝΓ', pag. 93, Odaria sunt et Odariorum fragmenta a variis scriptoribus prolata, quos, in gratiam diligentis lectoris, diligenter ipse indicabo. Ceterum etsi titulum ΩΔΑΙ ubique reliquerim, versus sunt unus et alter, quos ad lyrica Anacreontis opera referri nolim; verbi causa, fragmentum ΡΒ' ad elegos pertinuisse dicitur. — Ipsum hoc Odarium est apud Stobæum Tit. 118, 13.

ΝΕ. Ex Athenæo x, 29; xi, 50. Revocavi ἐγχέας codicum lectionem, pro ἔγχει, facta synizesi.

ΝϚ′. Ex Clemente Alex. Strom. VI, pag. 623 D. Vide Hermannum de Metr. pag. 486.

ΝΖ′. Ex Hephæstione pag. 69.

ΝΗ′. Ex Heraclide Allegor. pag. 414. Sequutus sum optimam Gaisfordii recensionem ad Hephæst. pag. 261.

ΝΘ′. Ex Athenæo XI, 54.

Ξ′. Ex Hephæstione pag. 69.

ΞΑ′. Ex Athenæo XI, 4.

ΞΒ′. Ibid. XV, 16. Cf. Hermann. de Metr. pag. 486.

ΞΓ′. Ibid. XIII, 17.

ΞΔ. Ex Maximo Tyr. Dissert. XXIV, 9.

ΞΕ. Ex Hephæstione pag. 68.

ΞϚ′. Ibid. pag. 59. Cf. Hermann. l. l. pag. 575.

ΞΖ. E Strabone III, pag. 196 Corayanæ. Pro ἐγὼ, forsan scripsit poeta κἠγὼ, et in fine βασιλεὺς ἐμέν.

ΞΗ′. Ex Eustathio ad Il. O. pag. 1012.

ΞΘ. Ex Athenæo X, 66.

O. Ibid. X, 43, Sequutus sum codicem. Vulgo, εἶ ξένοις.

OA. Ibid. XI, 99.

OB. Ibid. I, 37.

OΓ. Ibid. XV, 11.

OΔ. Ibid. XV, 16.

ΟΕ'. Ex Athenæo xv, 11 et 14.

Οϛ'. Ex Ammonio in Διαβόητος.

ΟΖ'. Ibid. in Γῆμαι.

ΟΗ'. Ex Athenæo xv, 36.

ΟΘ'. Ibid. xi, 50.

Π'. Ibid. xiv, 35.

ΠΑ'. Ex Hephæstione pag. 52.

ΠΒ'. Ibid. et apud Scholiastam ad Aves 1372. — Vulgo ἐμοὶ τέλει. Recepi Porsoni correctionem.

ΠΓ'. Ex Hephæstione l. l.

ΠΔ'. Ex Scholiis in Pindarum Ol. vii, 5.

ΠΕ'. E Gregorio Corinth. Dial. Ion. § 14.

Πϛ'. Ex Hephæstione pag. 29.

ΠΖ'. ΠΗ'. Ex Maximo Tyr. Diss. 24, 9.

ΠΘ'. Ex Athenæo xiii, 72. Η δὲ versu quarto de Sapphone capiendum.

Ϙ'. E Scholiis ad Pindarum Ol. viii, 42.

ϘΑ'. Hesychius in Ερμα.

ϘΒ'. Athenæus x, 30.

ϘΓ'. Stobæus Serm. lxvi, 6.

ϘΔ'. Etymologicum M. in Σῖτος.

ϘΕ'. Longinus qui fertur De Sublim. 31.

Ϙϛ'. Etymologicum M. in Κνυζηθμός.

ϘΖ'. Scholiastes ad Antigonam 134.

ϘΗ'. Scholiastes ad Odysseam Φ'. 71.

ϟΘ. Hephæstio pag. 71.

Ρ. Idem pag. 36.

ΡΑ. Idem pag. 90.

ΡΒ΄. Idem pag. 11.

ΡΓ΄. ΡΔ΄. Idem pag. 39.

ΡΕ΄. Idem pag. 130.

Ρϛ΄. Clemens Alexandrinus Pædag. III, 11, p. 251 A.

ΡΖ΄. Hephæstio pag. 69.

ΡΗ΄. Scholiastes Pindari Isthm. II, 9. Qnum dicat Fischerus pag. 395 esse in editionibus priscis ἀργυρέηχ χότε, inde feci quod legis.

ΡΘ΄. Etymologicum M. in Δεύνυσος.

ΡΙ΄. Idem in Ημετέρειον.

ΡΙΑ΄. Idem in Ηπεροπευτής.

ΡΙΒ΄. Idem in Σίλλοι.

ΡΙΓ. Idem in Νένωται.

ΡΙΔ΄. Idem in Σινάμοροι.

ΡΙΕ΄. Idem in Ρῆγος.

ΡΙϛ΄. Priscianus pag. 731. Putsch.

ΡΙΖ΄. Idem pag. 1328.

ΡΙΗ΄. Strabo XIV, pag. 44 Corayanæ.

ΡΙΘ΄. Scholiastes ad Hecubam 915.

ΡΚ΄. Hesychius in Γυναῖκες.

ΡΚΑ΄. Athenæus VI, 14.

ΡΚΒ΄. Philostratus Vit. Soph. I, 22, etc.

PKΓ'. Eustathius ad Il. O'. pag. 1001, 39.

PKΔ'. Hyginus Astron. II, 6.

PKE'. Eustathius ad Il. Cf. Fischerus pag. 413.

PKϚ'. Scholiastes Apollonii Rhodii III, 106.

PKZ'. Idem III, 120.

PKH'. Athenæus IV, 79. Vulgo, τίς ἐρασμίην θρέψας (vel τρέψας) θυμὸν ἐσέβην—ὀρχεῖσθαι (vel ὀρχεῖται). Ad conjecturas fuit confugiendum.

PKΘ'. Hephæstio pag. 96.

PΛ'. Apollonius Alex. de Syntaxi III, 15, apud Fischerum pag. 420 : ἀφ' οὗ (χρῆμι) τρίτον πρόσωπον χρησὶν, ὡς φησίν· ἐξ οὗ ἐν ἀποκοπῇ ἀπετελεῖτο, ὁμοίως τῷ παρὰ Ανακρέοντι· « Σὲ γὰρ ταργήλιος ἐμμελῶς δισκεῖν. » Mirum est non vidisse interpretes in hoc fragmento exemplum esse quærendum τοῦ χρησί. Inde corrigendi feci periculum.

PAA'. Athenæus XI, 2.

PAB. Scholiastes ad Persas 41.

PAΓ'. Plotius pag. 2643 Putsch.

PAΔ'. Eustathius ad Odysseam E. pag. 1542, 17.

PAE'. Apollonii Lexicon in Θέσθαι.

PAϚ'. Servius ad Æneidem XI, 550.

PAZ. Julianus Cæsar Misopog. pag. 366.

PAH. Lucianus in Hercule 8. Pro εἰσιδὼν, sumsi

ἐσιδὼν e codice parisino 3010. Jacobsio ταρσοῖς debeo pro ἢ ἀετοῖς.

ΡΛΘʹ. Pollux Onomast. VII, 172.

ΡΜʹ. ΡΜΑʹ. Apud Ursinum ex Atilio Fortunatiano. In Putschiana Græca desunt. Cf. Fischer. p. 442, 443.

ΡΜΒʹ. Hephæstio pag. 101.

ΡΜΓʹ. Athenæus x, 36.

ΡΜΔʹ. Vide Fischerum pag. 454.

ΡΜΕʹ. Herodianus de Figuris cap. περὶ πολυπτώτου.

ΡΜϚʹ. Dion Chrysostomus Orat. II. de Regno p. 94. In versu primo ᾧ recepi e cod. parisino 2958, pro vulgata ὦ: quarto, codicis exhibui scripturam loco editæ, συμπαίζουσ' ἐπιστρέφεται: sexto, codex ὑψηλὰς dedit; vulgo ὑψηλῶν: ultimo, editi, ὧδ' οὐ νῦν σε δέχεσθαι, codex autem εὖ pro οὐ habet, in reliquis vulgatæ consonans. Audacius mutavi.

ΡΜΖʹ. Scholiastes ad Prometheum Æschyli 128. Cf. Schæferus ad Gregorium Cor. pag. 545, et Hermannus de Metris pag. 493.

ΡΜΗʹ. Scholiastes ad Iliad. Τʹ. 21, apud Victorium Var. Lectt. 38, 14.

ΡΜΘʹ. Scholiastes ad Theogoniam 767.

PN′. Scholiastes venetus ad Iliad. Ψ. 88.

PNA′. Athenæus XII, 46.

PNB′. Ibidem. Vide Hermannum de M. pag. 429. Versu tertio inserui διασῆσι, ut versus incederet.

PNΓ′. Est in Vaticano inter Anacreontis Odaria. Versus sunt octonarii, primo et ultimo syllaba una carentibus. Codicis lemma Εἰς τὸ ἔαρ ἤτοι κάλλος nolui exhibere; adeo ineptum est.

PNΔ′. Est et hoc in vaticano libro. Sed quis credet esse Anacreontis? Neminem puto, qui quidem legerit.

PNE′. In codice hi versus præcedentibus male cohærent. Eos distinxi, quod facilius fuit quam corrigere.

PNϚ′. Est in vaticano codice. Versu decimo sexto, codex, δοιφροντιδων. Soni similitudo in δοι et δη meam emendationem satis tueri videtur: Daceria μοι conjicit, non male. Versu decimo octavo, ridendum se præbuit Barnesius cum sua, si diis placet, correctione, eaque recepta, γένοιμι: de his activis barbaris agere memini ad Aristænetum et ad Planudis Metamorphoses. Versu vicesimo, scribere visum est μηδὲν pro Vaticano μετ' ἄν: sequenti, inserui articulum: ultimo denique, refingere, ut legis, placuit vaticanum textum,

πόθους κεχλυθὲν ἄδεις. In talibus aliquid veniæ editori dandum est, ei præsertim qui bona fide mutationum rationem lectori apponit.

ΡΝΖ΄. Ex Theodori Prodromi Amarantho in Notitiis MSS. t. VIII, part. II, pag. 125. Conf. Hermannus de Metris pag. 489, et vir doctus in Valpyi Ephemeride Classica tom. 6, p. 95. Est omnino pseudonymum illud Odarium, et a Theodoro, vel alio confictum: ab illo tamen non statim crediderim; nam nescio quid habet Theodoreo ingeniolo venustius.

NOTULÆ
IN EPIGRAMMATA.

NOTULÆ

IN EPIGRAMMATA.

Α′—ΙΒ′. In Anthologia Palatina VI, 135—145. Ultimum non esse Anacreontis Teii liquido patet, ob Sophoclis tragici poetæ mentionem.

ΙΓ′. Ibid. VI, 346.

ΙΔ′. Ibid. VII, 160.

ΙΕ′. Ibid. VII, 226.

ΙϚ′. Ibid. VII, 263.

ΙΖ′. Ibid. IX, 715. Hoc Epigramma et proximum in Myronis Buculam Anacreonti falso tribui, Teio saltem illi, omnino certum est; tempora enim non quadrant.

ΙΗ′. Ibid. IX, 716.

ΙΘ′. Ibid. XIII, 4.

Κ′. Ex Athenæo XI, 8.

NOTULÆ

IN VARIORUM ANACREONTICA.

NOTULÆ
IN BASILIUM.

Α'. Basilii nomen e Vaticano Anacreontis codice adscitum, ubi Odariorum primum omnium est, ac sine lemmate quidem; sed, quum proximum, quod in codice secundum est, lemma ferat, *τοῦ αὐτοῦ βασιλίου*, sequitur inde et primum Basilio esse tribuendum: cf. Levesquius in Notit. — Vers. 7. ediderunt *καλός τε* et *καλός γε*. Scripsi *δὲ* e Vaticano, Fischero teste. Levesquius tacet.

Β'. In fine duos addidi versus ex initio Odarii repetitos. Hæc est Vaticani lectio.

Γ'. In Vaticano hoc Odarium præcedenti connexum est, ut unum et idem esse videantur. Inde Basilio tribuerunt.

NOTULÆ

IN JULIANUM ET ANONYMUM.

Pag. 112. In codice Vaticano inter Anacreontica legitur; at in Anthologia Planudea Ἰουλιανῷ ἀπὸ ὑπάρχων Αἰγυπτίῳ tribuitur; quod indicium cum plurimis editoribus sequutus sum. Versu 5, reliqui ἔπιον, codicis lectionem. Brunckius correxit ἔπινον. Sed Julianus, vel Anacreon ille, potuit errare.

Pag. 113. Est in Vaticano Anacreontis carminibus immixtum, cujus nomen falso præferre manifestum est. Cf. Hermann. de Metris pag. 480.

NOTULÆ

IN PAULI SILENTIARII

THERMAS.

Pauli Silentiarii Carmen in Thermas Pythicas ex Brunckii Analectis desumtum est. Illud contuli ad codicem parisinum 2596; unde et descripsi Scholia, quæ, quum describerem, inedita esse putabam, deinde comperi fuisse jam e codice guelpherbytano a Lessingio prolata. Sed quum in paucissimorum hominum extra Germaniæ fines Lessingiana Miscellanea pervenerint, nec non in nonnullis codex parisinus sit emendatior, placuit hic ea repetere Scholia, in quibus, etsi multa futilia, pro scholiastarum recentiorum et grammaticastrorum ingenio circa epimerismos, *σχέδη* et *ἀντιστοίχους* satagentium, nonnulla tamen sunt non omnino negligenda. Poterunt et inde, si tanti esse videbitur glossæ illæ emendari, quas suæ

Paulini carminis editioni Vulcanius adtexuit. Utriusque codicis, mei et Lessingiani, varietates notare supersedi; nam non eram pretium operæ facturus. Sed, quum unus et alter locus in hoc essent ampliores, illum inde supplevi, atque addita verbis uncinulis circumscripsi.

Vers. 2. ἄτεχνον) τὸ μὴ μετὰ τέχνης καὶ ἐνεργείας τινὸς γινόμενον· καθ' ὃ λέγεται ἐνταῦθα· ᾧ ἐναντίον τὸ τεχνητόν. Ατεχνον, καὶ ὃ εἰργάσατο μέν τις, οὐ μὴν ἐντέχνως, ᾧ ἐναντίον τὸ ἔντεχνον. Ατεχνος, καὶ ὁ μὴ εἰδὼς τέχνην, ἢ εἰδὼς μὲν, οὐ μὴν καλῶς, ᾧ ἐναντίον ὁ τεχνικός. Καὶ ἄτεχνος ζωὴ, παρὰ τῷ Θεολόγῳ Γρηγορίῳ, ἡ χωρὶς τέχνης συνισταμένη.

10 φύσις) τῶν πραγμάτων.

11 συνδικάζει) ἤγουν συνάρχει καὶ προστατεῖ τῆς παιδείας.

12 προσχές) Τὸ προσχὲς διὰ δύο σσ ὤφειλε γράφεσθαι· ἐπεὶ δὲ κακόφωνον ἐγένετο οὕτως, ἀποβάλλει τὸ ἓν σ· καὶ τὸ πρόσχημα διὰ ταῦτα ἀποβάλλει τὸ ἓν σ, ἀπὸ τῆς πρὸς προθέσεως καὶ τὸ σχῆμα συντεθειμένον.

13 ἔνερθε) κάτω. Ο παρὰ τοῖς κοινοῖς κάτωθεν, τοῦτο παρὰ τοῖς ποιηταῖς ἔνερθεν. Δηλοῖ γὰρ

κίνησιν ἀπὸ τῶν κάτω· « ὁ δ' ἀντιγέγωνεν ἔνερθεν (Anthol. Palat. IX, 177), » ἤγουν κάτωθεν. Ἐνταῦθα δὲ ἀντὶ τοῦ κάτω κεῖται καὶ ὑπὸ τὴν ἐπιφάνειαν.

15 ἐκεῖθεν ἔνθεν) ἀπ' ἐκείνου τοῦ μέρους, ἀπὸ τούτου τοῦ μέρους.

16 πιλεῖσθαι) πυκνοῦσθαι.

20 θειώδη) ἤγουν θείου μετέχοντα, ἤγουν τεάφης. — Quæ infra ad v. 51. iterum glossator apposuit.

21 μυχοῖς) ἐν τοῖς κοιλώμασι.

22 γειτονοῦν) πλησιάζον.

24 ἴσχον) δυνάμενον.

25 Codex, τρέχει, ut vulgo. Brunckius τρέχειν, citra necessitatem.

26 τὸ πρῶτον) ἀντὶ τοῦ τὸ πρότερον.

28 σύμφημι) συμφωνῶ.

30 μυδῶσα) Τὸ θέμα, μυδάω, μυδῶ. Μυδῶ δὲ κυρίως τὸ ἀπὸ σήψεως ὑγρὰ καὶ ἰχῶρας ἔχειν.

34 ἱπποκρ.) Τὸ θερμὸν λέγει Ἱπποκράτην ἄψυχον, καὶ Γαληνὸν χωρὶς τέχνης· ἐπεὶ, ἄψυχον ὂν καὶ ἄτεχνον, ἰάσεις ποιεῖ ὥσπερ ὁ Ἱπποκράτης.

36 πίστις) πίστωσις, βεβαίωσις.

40 οἶδεν) εἴωθε. — Codex, οἶδε, quod quidem

ante φ posset produci. Infra v. 92, codex ἔστι λέγουσι, ubi vis liquidæ invalidum esset auxilium. Talia, quum de auctoris manu non constat, emendatius scribenda sunt.

41 Codex habet Μηδείας, et sic vult metrum resque patitur.

44 μεταλλ.) μέταλλον χρυσοῦν, ἤγουν χρυσᾶ.

45 Ηρακλέων) τῶν τοῦ Ηρακλέους.

46 πέφυκε) εἰσί.

49 ἄφεγγες ἆσθμα) σκοτεινὸν ἀνάφυσημα, πνεῦμα. Ασθμα, ἡ ἀναπνοὴ, ἀὴρ οὗτος ὃν ἀναπνέομεν. Ανεμος, ἀήτης ποιητικῶς, καὶ αὔρα, ἀὴρ κινηθείς. Διαφέρουσι δὲ ἀλλήλων τῷ μὲν τὴν αὔραν ἐπὶ τῶν ἐξ ὑγροῦ ἐκπνοῶν τάττεσθαι, τὸν δὲ ἄνεμον ἐπὶ τῶν ἐν ἀέρι πνευμάτων, τὰ πνεύματα δὲ καὶ τοὺς ἀήτας ἐπὶ παντὸς ἀέρος κινηθέντος.

50 νυκτὶ παμφαῖνον) [ἤγουν κατὰ τὴν νύκτα· παμφαῖνον δὲ, ἤγουν λάμπον. Τὸ πᾶν δὲ ἐν αὐτῷ ἐπίτασιν δηλοῖ τῆς λαμπρότητος.]

52 πολυψ.) πολυήχους.

52 βροντώδεις) βροντὰς ἀφιέντας.

56 τελεῖ λήθην) ποιεῖ ἀπώλειαν τῆς μνήμης.

60 που) τοπικόν·

60 τροχάζει) τρέχει.

61 πτηνὸν ἄκος) ταχὺ θεραπεία. — Mutavi, post Brunckium et Lessingium, πτηνὸν codicis in πτηνῶν. Commentarius Jacobsii mutationem omnino firmat, ut nihil sit dubii.

63 μίσητρον) τὸ μῖσος ἐμποιοῦν, φίλτρον δὲ τὸ φιλίαν ἐμποιοῦν. Κατὰ ταυτὰ λέγεται καὶ θέλγητρον τὸ ἐμποιοῦν τέρψιν, καὶ φόβητρὸν τὸ ἐμποιοῦν φόβον, καὶ ἕτερα.

65 πίδαξ ἀναῤῥοιβδ.) πηγὴ σὺν ἤχῳ ἀνέρχεται.

67 προλεκτικόν) προφητικόν.

72 αἰνουμένη) ἐπαινουμένη.

75 καθαρτικὴν) καθάρσεως ποιητικήν.

76 χυμῶν) Χυμοὶ τὰ ἐν τοῖς ζώοις στοιχεῖα, ἤγουν τὸ αἷμα, τὸ φλέγμα, καὶ τὰ λοιπά· ἀφ' οὗ εὔχυμος τροφὴ, ἡ εἰς καθαροὺς χυμοὺς μεταβαλλομένη, καὶ κακόχυμος τὸ ἐναντίον. Καὶ χύσις, ἀφ' οὗ ἔκχυσις, σύγχυσις, πρόσχυσις, πρόχυσις καὶ ὑπέρχυσις, ψιλά. Χοῖρος καὶ χοιρίδιον, καὶ χοιὰκ ὁ δεκέμβριος παρ' Αἰγυπτίοις, καὶ χοιράδες πέτραι περὶ τὸν Ελλήσποντον, ἃς ἐμυθεύοντο συνέρχεσθαι ἀλλήλαις, [καὶ εἴργειν τᾶς ναῦς εἰσιέναι εἰς τὸν Εὔξεινον Πόντον,] δίφθογγον, ο καὶ ι.

76 θρυλλοῦσιν) ἀντὶ τοῦ ᾄδουσιν ἢ φημίζουσι. Τὸ γὰρ ᾄδειν ἐνίοτε μὲν τὸ ψάλλειν δηλοῖ, ἐνίοτε δὲ τὸ φημίζειν, οὐδέποτε δὲ τὸ ἁπλῶς λέγειν. Τὸ λέγειν ἐπὶ προφορικοῦ λόγου λέγεται, καὶ ἀπὸ τούτου ἐπὶ τοῦ φράζειν.

78 χαῦνον) παραλελυμένον, ἐκλελυμένον, ᾧ ἐναντίον τὸ συνεστηκὸς καὶ συνεσφιγμένον.

81 γλυκαίνειν) Γλυκὺς καὶ ὅσα ἀπ' αὐτοῦ, γλυκίων, γλυκύτερος, γλυκαίνω, καὶ γλυκασμὸς, Γλυκερὰ ἑταίρα τις, καὶ Γλυκέριος ὄνομα κύριον, ψιλα· γλοιῶδες δὲ ἐπὶ τῶν παχέων (Paris. ταχέων), δίφθογγον.

85 ὁλκήν) Ὁλκὴ ὁ σταθμὸς, ἀπὸ τοῦ σταθμοῦ δὲ βαρύσταθμον, τὸ βαρεῖαν ὁλκὴν ἔχον.

86 Scripsi ὡς e conjectura Brunckii. Codd. et priscæ editiones τὴν habent.

87 μικρός σοι) ἐστὶ δηλονότι.

90 σφίγγει) Σφίγγω, Σφίγξ, ἐπὶ θηλυκοῦ (ἦν δὲ αὕτη, κατὰ τὸν τῶν Ἑλλήνων μῦθον, τερατῶδες ζῶον, ἀνθρωπόμορφον), Σφιτὸς δῆμος ἐν Ἀθήναις, καὶ σφίσιν ἀντὶ τοῦ αὐτοῖς ἢ αὐταῖς ἐπὶ τῆς πρωτοτύπου ἀντωνυμίας, ι. Σφὴξ δὲ ἐπὶ ἀρσενικοῦ ζωΰφιόν τι μελίττῃ ἐμφερὲς, [καὶ σφηκία ἡ συνθήκη τοῦ μέλιτος τῶν σφηκῶν] καὶ σφηκῶ

τὸ δεσμεύω, καὶ σφηκίας, καὶ σφηκώδης ὁ τὰ περὶ τὴν ὀσφὺν λεπτὸς, καὶ σφῆσι ταῖς ἰδίαις, καὶ ἡ εὐθεῖα ἡ σφὴ, καὶ σφὴν σφηνὸς, καὶ ἐσφηνωμένον δέρμα τὸ πεπυκνωμένον, καὶ σφηνίσκος τὸ εἰς ὀξὺ ἐξεσμένον ξύλον, η. Σφεῖς δὲ ἀντὶ τοῦ αὐτοὶ ἐπὶ τῆς εὐθείας τῶν πληθυντικῶν τῆς πρωτοτύπου ἀντωνυμίας, καὶ σφείων ἐπὶ τῆς γενικῆς τῶν πληθυντικῶν ποιητικῶς ἀντὶ τοῦ σφῶν, ἀπὸ τοῦ σφέων κατὰ πλεόνασμον τοῦ ι, δίφθογγον. — Brunckius στρέφει: codex τρέφει, optimo sensu.

94 αἰθριάζοις) ἐν ἀσκέπῳ τόπῳ τιθείς.

95 κρυσταλλοπ.) Κρύσταλλος τὸ πεπηγμένου ὕδωρ ἀπὸ ψύχους. Κρύος τὸ ψύχος, κρύμος τὸ αὐτὸ, κρυερὸς ὁ ψυχρὸς, κρύπτω, καὶ κρυπτὸν τὸ κεκρυμμένον, κρυφίως, κρύφα ἀντὶ τοῦ κρυφίως, καὶ κρύβδην τὸ αὐτὸ, ψιλά. Κροῖσος δὲ κύριον, ὃς ἦν βασιλεὺς τῶν Λυδῶν, δίφθογγον.

97 προκύψας) ἡ πρὸς ἐνταῦθα τὴν εἰς τὸ ἔμπροσθεν ὁρμὴν δηλοῖ.

102 τελεῖ) ποιεῖ.

108 πιστοῦνται) βεβαιοῦνται.

109 χείματος) χειμῶνος.

111 θέρους) κατὰ τὸ θέρος· καὶ νυκτὸς ἐποίησέ τις τόδε, ἀντὶ τοῦ κατὰ τὴν νύκτα.

119 ῥυμμάτων) Ῥύσις, ἡ χύσις, καὶ ῥύαξ ῥύακος τὸ κοινῶς ῥυάκιον, καὶ ῥυμὸς ὁ τοῦ ἀρότρου, ὃς καὶ ἱστοβοεὺς λέγεται, καὶ ὁ τῆς ἁμάξης ἤγουν τὸ ἐπὶ τὸν ζυγὸν τεῖνον, καὶ ῥυτῆρες αἱ ἡνίαι ἤγουν οἱ ἱμάντες τοῦ χαλινοῦ, καὶ ῥύομαι τὸ λυτροῦμαι, ἀφ' οὗ ῥύσιον τὸ λυτήριον, καὶ ῥυσσὰ τὰ μὴ τεταμένον ἔχοντα τὸ δέρμα καὶ λεῖον, ἀλλὰ τραχὺ καὶ ἀπολελυμένον, δι' ἔνδειαν σαρκῶν, ὡς πτύχας ποιεῖν, οἷος τὸ τῶν γεγηρακότων καὶ τῶν μεμαρασμένων καρπῶν, καὶ ῥύγχος ἐπὶ κυνὸς, ὅπερ ἐπὶ τῶν ὀρνέων ῥάμφος, ἤγουν τὸ ἄκρον τῆς ῥινὸς τοῦ κυνὸς, καὶ ῥύπτω τὸ καθαίρω, ἀφ' οὗ ῥύμματα τὰ καθάρματα, καὶ ῥύμη ἡ στενωπὸς, καὶ ῥυπόω ῥυπῶ, καὶ ῥῦπος, καὶ ἐῤῥυπωμένα ἱμάτια, καὶ ἕτερα, διὰ τοῦ υ ψιλοῦ. Ῥοιὰ δὲ, ὁ καρπὸς τῆς κοινῶς ῥοϊδέας, ἧς τὸ δένδρον ῥόα, καὶ ῥοῖζος ὁ ἦχος τοῦ πυρὸς, καὶ ῥοιζηδὸν τὸ μετὰ ῥοίζου, καὶ ῥοιβδεῖν καὶ ἀναῤῥοιβδεῖν τὸ μετὰ ἤχου ἀναπέμπειν τι, δίφθογγον.

121 αἰγείρους) Ἑκάβη, Ἑκάτη δαιμόνιόν τι, Ἕκτωρ, ἐκεῖ, ἑκὼν, ἑκυρὸς ὁ πενθερὸς, ἕκηλος ὁ ἥσυχος, καὶ ἑκὰς ἀντὶ τοῦ μακρὰν, ἀφ' οὗ τὸ ἀνέκαθεν ἀντὶ τοῦ ἄνωθεν, καὶ ἑκηβόλος Ἀπόλ-

λων ὁ τοξικὸς, καὶ ἑκατηβόλος ὁ αὐτὸς, καὶ ἑκατηβελέτης, καὶ ἑκάτερος, καὶ ἕκαστος, καὶ ἑκασταχοῦ ἐπίῤῥημα ἀντὶ τοῦ ἐν ἑκάστῳ μέρει, καὶ ἑκατὸν, καὶ ἔκτρωμα τὸ ἀμβλωθὲν βρέφος, καὶ ἐκμαγεῖον ἐπὶ τῶν κηρῶν τῶν τυπουμένων τῷ δακτυλίῳ καὶ ἀποματτομένων τὸν ἐν αὐτῷ χαρακτῆρα, καὶ ἀπὸ τούτου ἐπὶ πάντων τῶν φυλαττόντων ἀπαῤῥάλλακτον εἰκόνα τοῦ ἀρχετύπου, καὶ ἐκμάσσω τὸ ἀποσπογγίζω, ψιλά. Αἶκνον δὲ τὸ δεῖπνον, αἰκάλλω τὸ θέλγω καὶ ἀπατῶ, ἀφ' οὗ αἰκάλη ἡ ἀπάτη, καὶ αἴκα ἀντὶ τοῦ ἐὰν Δωρικῶς ἀπὸ τοῦ εἰ συνδέσμου καὶ τοῦ κε (οὗτοι γὰρ τρέπουσι τὸ ε εἰς α), δίφθογγα. Αἴγειρος, καὶ Αἰγεὺς ἥρως παρ' Ἀθηναίοις, καὶ Αἰγεῖον ἡρῷον αὐτοῦ ἐν Ἀθήναις, [καὶ Αἰγηῒς ἀπὸ τούτου φυλὴ ἐν Ἀθήναις] ὅθεν οἱ φυλέται Αἰγεῖδαι, καὶ αἰγανέα τὸ ἀκόντιον, καὶ αἶγες, καὶ αἰγὶς αἰγίδος, τὸ δέρμα τῆς Ἀμαλθέας, ὃ, φασὶ, σείων ὁ Ζεὺς φοβερὸς ἐγίνετο, καὶ Αἰγιαλία δῆμος ἐν Ἀθήναις ὅθεν ὁ δημότης Αἰγιαλιεὺς (Αἰγαλία et Αἰγαλεὺς nomina sunt reponenda), δίφθογγα. Ἐγὼ δὲ ἀντωνυμία, καὶ ἐγείρω, καὶ ἐγγύη, καὶ ἐγγυῶμαι, ἀφ' οὗ φερέγγυος ὁ ἀξιόχρεως, καὶ ὑπέγγυον τὸ ὑπόχρεων, ψιλά.

125 ὤ) Τὸ ω μετὰ τῆς κλητικῆς οὐδέποτε ὀξύνεται, εἰ καὶ ἔκπληξιν ὁ λόγος ἔχει καὶ θαῦμα, οἷον, « ὦ Ἡράκλεις, ὦ θαῦμα θαυμάτων (supra v. 70.) ». Οὐ μόνον γὰρ τὸ ω ἐν τούτοις ἐμφαίνει τὴν ἔκπληξιν καὶ τὸ θαῦμα, ἀλλὰ μετὰ τῶν κλητικῶν. Ὅτε δὲ ἐπάγεται γενικὴ, ἐξ ἀνάγκης ὀξύνεται· τότε γὰρ πάντως ἢ σχετλιαστικόν ἐστιν, οἷον, « ὢ τῆς ἐμῆς ἀθλιότητος· » ἢ θαυμαστικὸν, οἷον, « ὢ τοῦ ξένου μετάλλου (infra v. 127). » Διὸ καὶ τὴν γενικὴν ἔχει ἐπαγομένην. — Codex parisinus male pro ἐπαγομένην habet ἐσπαρμένην. Ceterum huic canoni non parui, atque apud Paulum, ut et alibi, ὢ acuere placuit, quum esset exclamandi, non vocandi signum.

132 πεπλησμένην) γεγεμισμένην.

135 αὖ) Τὸ αὖ ἀντὶ τοῦ δὴ κεῖται ἀεί.

138 ἀκρίτως) ἀδιακρίτως.

139 ἐξέρπει) ἐξέρχεται.

140 τὸ καῖον) την καυστικὴν δύναμιν.

141 σαφῶς) φανερῶς.

144 ἐξέθαλψε) ἀνῆψε.

146 πάντως) ἐκ παντός.

147 δέλτοι) βίβλοι. — ἄλλην) πέτραν.

148 ὥρᾳ) ἐν.

149 ἀνίσχειν) [Τὸ ἀνίσχειν ἐπὶ τῆς ἀνατολῆς λέγεται τοῦ ἡλίου καὶ ἐπὶ τῆς ἀναβλαστήσεως τῶν βοτανῶν, καὶ ἀπὸ τούτου καὶ ἐπ' ἄλλων· ἀνέχω δὲ τὰς χεῖρας ἐπὶ εὐχῆς, καὶ ἀνέχω τὸ βαστάζω.]

150 χειμῶνος) κατὰ τὸν καιρὸν τοῦ χειμῶνος.

153 ῥιπίδι) Ῥιπὶς τὸ πλατὺ πλέγμα ὃ στρεφόμενον κινεῖ τὸν ἀέρα.

155 σπείσεις) Τὸ σπείσεις ἁπλῶς χύσιν δηλοῖ· τὸ δὲ ῥαίνειν τοιάνδε χύσιν.

156 τυφοῦται) ἀγριοῦται.

157 ἄλλης) ἀπό.

158 μίγδην) μεμιγμένα.

160 τετρακτύος) τῶν τεσσάρων στοιχείων. — πιστοῦται) βέβαιοι.

163 ἄγων) διοικῶν. — ἰθύνων) κυβερνῶν.

166 ἐγείρει) ἀναπείθει, διανιστᾷ.

167 κάλει) ὀνόμαζε. Καλῶ τὸ κράζω καὶ τὸ ὀνομάζω.

168 φαντάζου) λογίζου.

174 ἀναρχοφ.) ἄναρχον φῶς γινωσκόμενον.

175 ἀῤῥητολ.) ἀῤῥήτως καὶ λεπτῶς ἐκπνεόμενον.

176 κόσμους φέρον) διεξάγον. Τοὺς ἀνθρώπους δο-

κεῖ λέγειν κόσμους, τοὺς πληροῦντας τὸν κόσμον, οἳ παρέρχονται, εἶτα ἕτεροι γίνονται, καὶ αὖθις ἕτεροι, οὓς, διὰ τὸ πολλάκις τὸν κόσμον πληροῦν, λέγοι ἂν κόσμους πληθυντικῶς.

177 χωρίῳ) τῷ κόσμῳ.

182 πίστις) πίστωσις, βεβαίωσις.

183 τὰ δῆλα τῶν ἀδ.) τὰ φανερὰ τῶν ἀφανῶν.

187 τρισσοφ.) τὴν ἁγίαν Τριάδα.

190 μετουσίᾳ) μεταλήψει. — τὸ κρεῖττον) ἤγουν τὴν ψυχήν. — Pro θεώσεις, Lessingius ait in codice guelpherbytano reperisse se θεάσεις. Atque sic legisse fere videtur Ancantherus cujus hæc est versio :

Quod cupis invenies, hæc stet modo firma voluntas,
Invento ut melius præsens præsente fruaris.

Et θεάσεις optime ad sensum faciet, climace sic disposito : « cupies, quæres, *videbis*, i. e. invenies. » At jam τὸ κρεῖττον non erit ψυχὴ, sed θεός; estque notissimus hic τοῦ κρείττονος sensus, de quo multi dixerunt, et ipse ad Eunapium. Nec de activo θεάω, θεάσω, dubitandum est, quæ forma Paulo ætatique Pauli apprime convenit.

Servavi tamen θεώσεις, quod plus habet auctoritatis, plus græcæ proprietatis, sententiamque efficit egregiam : « quæres, et (inveniens nempe) « animam, partem tui longe meliorem, Dei so- « cietate et præsentia, deum fere facies ipsam. »

FINIS.

INDEX

ANNOTATIONIS.

Migne 2e t[illegible]
22 vol
acu[illegible]